This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

880.8
M985
1833

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUÆRIS PENINSULAM AMŒNAM
CIRCUMSPICE

BEQUEST OF
PROFESSOR
M. L. D'OOGE

880.8
M985
1833

# MUSA GRÆCA.

SELECTA

EX

# POETIS MELIORIS NOTÆ.

IN USUM SCHOLÆ HERGENSIS.

EDITIO REPETITA, AUCTIOR ET EMENDATIOR.

*Ἀγαθῆς δεῖ τῷ νέῳ κυβερνήσεως περὶ τὴν ἀνάγνωσιν, ἵνα μὴ προδιαβληθεὶς, ἀλλὰ μᾶλλον προπαιδευθεὶς, εὐμενὴς καὶ φίλος καὶ οἰκεῖος ὑπὸ ποιητικῆς ἐπὶ φιλοσοφίαν προπέμπηται.*

PLUTARCHUS, ΠΩΣ ΔΕΙ ΤΟΝ ΝΕΟΝ, κ. τ. λ.

OXONII,

EXCUDEBAT S. COLLINGWOOD,

ACADEMIÆ TYPOGRAPHUS,

IMPENSIS PAYNE ET FOSS, PALL MALL, LONDINI.

MDCCCXXXIII.

# LECTORI SUO.

In repetita hac Musæ Græcæ, quam Hergensibus nostris proponimus, editione, quo e prælo typographico priore locupletior et emendatior exiret, diligenter laboravimus. Id quoque studuimus, ut hic liber, si denuo typothetæ imprimendus mandetur, neque critica ope, neque mantissa ulterius egeat.

Cum in Poetarum Excerptis, quæ antea dedimus, malos quosdam duces aliquando secuti sumus (Loësnerum, verbi gratia, in Hesiodo; in Apollonio Rhodio, Shavium; opere scilicet celerius atque hodie, et instituto et decurso) ita nunc novas optimasque Editiones enixe pervolutavimus, lectionibus earum, et VV. DD. conjecturis inter se collatis et excussis.

Hesiodus igitur, Pindarus, Meleager, et alii quidam Poetæ nostri jam ampliores prodeunt, quorum societatem iniit Aratus. Præcipue autem in votis erat, ut Aristophanis et Comicorum manubiæ hunc librum latius ornarent. Dindorfium ergo cum Bekkero conferentes novo prope textui proferendo consuluimus, et ante impressis multa e Comico addidimus. Athenæum item Dindorfianum, et Stobæum Gaisfordianum peni-



35843?

tus evolvimus, ut Comœdiæ, plerumque serioris, fragmenta, plura numero, et omni supellectile pulchriora exhiberentur.

Tres denique Appendices ad calcem excerptorum produximus; quas neque inutiles fore speramus, neque quibus, utcunque Græce scientes, pueri non manus admoveant.

*Dabamus Hergæ supra collem,*
mense Januario A. S. MDCCCXXXIII.

# INDEX.


| | Pag. |
|---|---|
| HESIODUS | 1 |
| SAPPHO | 17 |
| ALCÆUS | 20 |
| PINDARUS | 23 |
| ARISTOPHANES | 83 |
| COMICORUM GRÆCORUM FRAGMENTA | 137 |
| POETÆ BUCOLICI | 175 |
| ARATUS | 233 |
| APOLLONIUS RHODIUS | 245 |
| CALLIMACHUS | 287 |
| MELEAGER | 305 |
| DIONYSIUS PERIEGETES | 315 |
| OPPIANUS. | 321 |

# HESIODUS.

FLOR. CIRCA DCCCC. ANNUM ANTE CHRISTUM.

## OPERA ET DIES.

# HESIODUS.

## ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

### V. 1.

ΜΟΥΣΑΙ Πιερίηθεν ἀοιδῆσι κλείουσαι,
δεῦτε δὴ, ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι·
ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄῤῥητοί τε Διὸς μεγάλοιο ἕκητι.
ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει·
ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει.
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
κλῦθι ἰδὼν ἀΐων τε· δίκῃ δ' ἴθυνε θέμιστας
τύνη· ἐγὼ δέ κε, Πέρσῃ, ἐτήτυμα μυθησαίμην.
Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινήσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔτις τήνγε φιλεῖ βροτὸς, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῆσιν ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην, προτέρην μὲν ἐγείνατο νὺξ ἐρεβεννὴ,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι, πολλὸν ἀμείνω.
ἥ τε καὶ ἀπάλαμόν περ ὅμως ἐπὶ ἔργον ἐγείρει.
εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων,
εἰς ἄφενον σπεύδοντ'. ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.

Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,
μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ', ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν,
τοῦ κεκορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵτ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ'· ἄλλα τὰ πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι·
νήπιοι· οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσαιο,
ὥς τέ σέ κ' εἰς ἐνιαυτὸν ἔχειν, καὶ ἀεργὸν ἐόντα.
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττί μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖθις ἐῢς πάϊς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδὼς,
χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν,
καὶ σθένος· ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν

παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῆ χρυσῆν Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον, καὶ γυιοβόρους μελεδῶνας.
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
ὣς ἔφαθ᾽. οἱ δ᾽ ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
αὐτίκα δ᾽ ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένω αἰδοίη ἴκελον, Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη.
ἀμφὶ δὲ οἱ Χάριτές τε θεαὶ, καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
πάντα δὲ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
ἐν δ᾽ ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
ψεύδεά θ᾽ αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε, Διὸς βουλῆσι βαρυκτύπου. ἐν δ᾽ ἄρα φωνὴν
θῆκε θεῶν κήρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
πανδώρην· ὅτι πάντες ὀλύμπια δώματ᾽ ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ᾽ ἀνδράσιν ἀλφηστῆσιν.
αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον. Οὐδ᾽ Ἐπιμηθεὺς
ἐφράσαθ᾽ ὥς οἱ ἔειπε Προμηθεὺς, μήποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ᾽ ἀποπέμπειν
ἐξοπίσω, μήπου τι κακὸν θνητοῖσι γένηται.
αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ᾽, ἐνόησε.
πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,
νούσων τ᾽ ἀργαλέων, αἵτ᾽ ἀνδράσι γῆρας ἔδωκαν.
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ᾽ ἀφελοῦσα
ἐσκέδασ᾽· ἀνθρώποισι δ᾽ ἐμήσατο κήδεα λυγρά.
μούνη δ᾽ αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισι
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
αἰγιόχου βουλῆσι Διὸς νεφεληγερέταο.

ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόμαται φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
σιγῇ· ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.
οὕτως οὔτι που ἔστι Διὸς νόον ἐξαλέασθαι.
εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες.
οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
ὥς τε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν.
αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν δαίμονές εἰσι, Διὸς μεγάλου διὰ βουλάς,
ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
πλουτοδόται. καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον, οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ.
ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
ἀφραδίαις· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,

ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ἐπιχθόνιοι μάκαρες θνητοὶ καλέονται
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ', οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα, καὶ ὕβριες. οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
ἄπλατοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' ἐργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
καί τοι μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε.
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ·
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδὲ μὲν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει·
οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
ἀθανάτων μετὰ φῦλ' ἴτην, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς.
ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς.
ἡ δ' ἐλεὸν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων.
τῇδ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν.
δεῖπνον δ', αἴκ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.

ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν.
νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε.
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
τῆς δὲ Δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας.
ἡ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τέ μιν ἐξελάσωσι, καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ.
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος· οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς,
οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
οὐδ' ἄτη· θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νείσσονται· καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
οἷς δ' ὕβρις τε μέμηλε κακὴ, καὶ σχέτλια ἔργα,
τοῖσδε δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα
ὅστις ἀλιτραίνει, καὶ ἀτάσθαλα μηχανάαται.
τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί·
οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε

ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίννυται αὐτῶν.
Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς, φύλακες θνητῶν ἀνθρώπων·
ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαῦια,
κυδνή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διῒ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωσι δίκας, σκολιῶς ἐνέποντες
ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε μύθους,
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε
οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας,
καί νυ τάδ', αἴκ' ἐθέλῃσ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι·
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίνεται. εἰ γάρ τίς κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεῦσαι
γινώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη,
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·

ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.
οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει,
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.
ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, Δῖον γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πίμπλησι καλιήν.
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργὴν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.

## ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

### V. 412.

ἩΜΟΣ δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· δὴ γὰρ τότε Σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ·
ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ

ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονά θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενον οὕτω
εἰ δέ κεν ὀκταπόδην ἀπὸ καὶ σφῦράν κε τάμοιο,
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ.
πόλλ' ἐπὶ καμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅταν εὕρῃς,
εἰς οἶκον, κατ' ὄρος διζήμενος, ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν·
εὖτ' ἂν Ἀθηναίης δμῳὸς ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτω.
εἴ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο·
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες.
δρυὸς ἔλυμα, πρίνου δὲ γύην, βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνὸν,
ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.
οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι καμμὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο,
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔ τι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
ἥ τ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας·
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν· Βόε δὸς καὶ ἅμαξαν·
ῥηΐδιον δ' ἀπανήνασθαι· Πάρα δ' ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν,
νήπιος· οὐδὲ τόγ' οἶδ', ἑκατὸν δέ τε δούραθ' ἁμάξης,

τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι.
εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι, ὁμῶς δμῶές τε καὶ αὐτὸς,
αὔην καὶ διερὴν ἀρόων, ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.
εὔχεσθαι δὲ Διῒ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτὴν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅταν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν, ὅρπηκι βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβῳ· ὁ δὲ τυτθὸς ὄπισθεν
δμωὸς, ἔχων μακέλην, πόνον ὀρνίθεσσι τιθείη,
σπέρματα κακκρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.
εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
εἰ δέ κεν ἠελίοιο τροπαῖς ἀρόῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων·
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν, μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν, μήθ' ὥριος ὄμβρος.

# SAPPHUS ET ALCÆI

## FRAGMENTA.

FLORR. CIRCA DC. ANNUM ANTE CHRISTUM.


SAPPHO. Fragm. I.
II.
III.
X.
XI.
XXX.
Epigr. III.

ALCÆUS. Fragm. I.
II.
III.
IV.
XIX.
XX.
XXIV.

# SAPPHO.

## Fragm. I.

### Εἰς Ἀφροδίταν.

ΠΟΙΚΙΛΟΦΡΟΝ, ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς δολοπλόκε, λίσσομαί τε
μή μ' ἄσαισι, μηδ' ὀνίαισι δάμνα,
πότνια, θυμόν·
ἀλλὰ τυῖδ' ἔνθ', αἴ ποτα κἀτέρωτα
τᾶς ἐμᾶς αὔδας ἀΐοισα πολλᾶς
ἔκλυες, πατρός τε δόμον λιποῖσα,
χρύσεον ἦνθες
ἄρμ' ὑποσδεύκσασα· καλοὶ δέ τ' ἆγον
ὤκεες στρῶθοι, περὶ γᾶς μελαίνας
πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὠρανῶ θέ-
ρευς δία μέσσω.
αἶπσα δ' ἐκσίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσασ' ἀθανάτῳ προσώπῳ
ἤρευ ὄττι τ' ἦν, τὸ πέπονθα, κὤτι
δ' ἦν, τὸ κάλημι,
κὤτι μεῦ μάλιστ' ἐθέλω γενέσθαι
μαινόλᾳ θυμῷ—τίνος αὖ τὺ πειθοῖ
μὰπς σαγήνευσας φιλότατα; τίς τ', ὦ
Σάπφ', ἀδικήη;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέχετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλάσει
κοὐκ ἐθέλοισαν.
ἔνθε μοι καὶ νῦν, χαλεπᾶν τε λῦσον
ἐκ μεριμνᾶν· ὄσσα δέ μοι τελεῖσθαι
θυμὸς ἱμέρρει, τέλεσον, τὺ δ' αὔτα
σύμμαχος ἔσσο.

## II.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν, ὠνὴρ ὄττις ἐναντίος τοι
ἰσδάνει, καὶ πλασίον ἀδὺ φωνοί-
σας ἐπακούει
καὶ γελάσας ἰμέροεν, τὸ μοὶ 'μὰν
καρδίαν ἐν στάθεσιν ἐπτόασεν·
ὡς τε γὰρ ϝιδῶ, βροχέως με φωνᾶς
οὐδὲν ἔτ' ἴκει·
ἀλλὰ κὰμ μὲν γλῶσσα ϝέϝαγε, λεπτὸν δ'
αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν,
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεῦσι δ' ἀκουαί·
καδδ' ἰδρὼς πσυχρὸς χέεται, τρόμος δὲ
πᾶσαν ἀγρεῖ· χλωροτέρα δὲ ποιᾶς
ἔμμι· τεθνάκην δ' ὀλίγω 'πιδεύσην
φαίνομαι, Ἀτθί.

## III.

ἀστέρες μὲν ἀμπὶ καλὰν σελάναν
ἂπς ἀποκρύπτοντι φαεννὸν εἶδος,
ὀππόταν πλήθοισα μάλιστα λάμπῃ
γᾶν—

## X.

ἐλθὲ, Κύπρι
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοοῖσα
τοισδ' ἐταίροις τοῖσιν ἐμοῖς τε καὶ σοῖς.

## XI.

κατθανοῖσα δὲ κεῖσ'· οὐδέποτα μναμοσύνα σέθεν
ἔσσετ' οὐδέποτ' εἰς ὕστερον. οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας. ἀλλ' ἀφανὴς κὴν Ἀΐδα δόμοις
φοιτάσεις πεδ' ἀμαυρῶν νεκύων ἐκπεποταμένα.

## XXX.

αἰ δ' ἶχε τ' ἐσλῶν ἴμερος, ἢ καλῶν,

καὶ μή τι ϝειπῆν γλῶσσ' ἐκύκα κακὸν,
αἰδώς κεν οὐχί τ' ὄππατ' εἶχεν,
ἀλλ' ἔλεγες περὶ τῷ δικαίῳ.

EPIGR. III.

Τιμάδος ἅδε κόνις, τὰν δὴ, πρὸ γάμοιο θανοῖσαν,
δέξατο Φερσεφόνας κυάνεος θάλαμος·
ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθαγέϊ χαλκῷ
ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

# ALCÆUS.

## FRAGM. I.

Ὕει μὲν ὁ Ζδεὺς, ἐκ δ' ὀρανῶ μέγας
χειμών· πεπάγασιν δ' ὑδάτων ῥοαί.
*     *     *     *     *     *
*     *     *     *     *

κάββαλλε τὸν χειμῶν', ἐπὶ μὲν τιθεὶς
πῦρ, ἐν δὲ κίρναις ϝοῖνον ἀφειδέως
μελιχρόν· αὖταρ ἀμπὶ κόρσᾳ
μαλθακὸν ἀμπιτίθει γνόφαλλον.

## II.

*     *     *     *     *     *

Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ἀν τὸ μέσσον
ναῒ φορήμεθα σὺν μελαίνᾳ,
χειμῶνι μοχθεῦντες μεγάλῳ κάλων·
πὰρ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη,
καὶ λακίδες μεγάλαι κατ' αὐτό.
χαλᾶσι δ' ἄγκυραι     *     *     *
*     *     *     *     *     *
*     *     *     *     *
*     *     *     *

τόδ' αὖτε κῦμα τῷ προτέρῳ ὄμον
στείχει· παρέξει δ' ἄμμι πόνον πολὺν
ἀντλῆν.

## III.

Οὐ χρὴ κακοῖσιν θυμὸν ἐπιτρέπην·
προκόψομες γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι· φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθυσθῆν.

IV.

Νῦν χρὴ μεθύσκην καὶ χθόνα πρὸς βίαν
παίην, ἐπειδὴ κάτθανε Μύρσιλος.

XIX.

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρεον ἀμπέλω.

XX.

Πίνωμεν· τί τὰ λύχν' ἀμμένομεν; δάκτυλος ἀμέρα.
ϝοῖνον γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικαδέα
ἀνθρώποισιν ἔδωκ'· ἔγχεε κίρναις ἕνα καὶ δύο
πλείαις κακκεφαλᾶς· ἁ δ' ἑτέρα τὰν ἑτέραν κύλιξ
ὠθείτω.

XXIV.

Μαρμαίρει δὲ μέγας δόμος
χαλκῷ· πᾶσα δ' Ἄρῃ κεκό-
σμηται στέγη,
λαμπραῖσιν κυνέαισι, κατ-
τᾶν λευκοὶ καθύπερθεν ἵπ-
πειοι λόφοι
νεύουσιν, κεφαλαῖσιν ἀν-
δρῶν τἀγάλματα· χάλκεαι δ'
αὖ πασσάλοις
κρυπτοῖσιν περικείμεναι
λαμπραὶ κναμίδες, ἕρκος ἰ-
σχυρὸν βέλευς,
θώρακές τε νέω λίνω,
καὶ κοῖλαι δὲ κατ' ἀσπίδες
βεβλημέναι·
πὰρ δ' αὖ Χαλκιδικαὶ σπάθαι,
πὰρ δὲ ζώματα πολλὰ, καὶ
κυπαττίδες
τῶν οὐκ ἔστι λαθέσθ', ἐπει-
δὴ πρώτιστ' ὑπὸ ϝέργον ἔ-
σταμεν τόδε.

# PINDARUS.

FLOR. CIRCA CCCCLXX. ANNUM ANTE CHRISTUM.


| | |
|---|---|
| OLYMPIA. | I. |
| | II. |
| | IV. |
| | VII. |
| | XI. |
| | XIII. |
| PYTHIA. | I. |
| | III. |
| | IV. |
| | VI. |
| NEMEA. | I. |

# PINDARI OLYMPIA.

### ΕΙΔΟΣ Α.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ.

Στροφὴ ά. Κώλων ιζ΄.

ἌΡΙΣΤΟΝ μὲν ὕδωρ· ὁ δὲ
χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυ-
κτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύεν
ἔλδεαι, φίλον ἦτορ,
μηκέθ' ἁλίου σκόπει
ἄλλο θαλπνότερον
ἐν ἁμέρᾳ φαεννὸν ἄστρον
ἐρήμας δι' αἰθέρος·
μηδ' Ὀλυμπίας ἀγῶνα
φέρτερον αὐδάσομεν·
ὅθεν ὁ πολύφατος
ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ'· ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑστίαν·

Ἀντιστροφὴ ά. Κ. ιζ΄.

θεμιστεῖον ὃ ἀμφέπει
σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ δρέπων μὲν
κορυφὰς ἀρετᾶν ἄπο πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν

ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν. ἀλλὰ Δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
λάμβαν᾽· εἴ τι τοι Πίσας τε
καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν·
ὅτε παρ᾽ Ἀλφεῷ σύτο, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν

Ἐπῳδὸς α΄. Κ. ιγ΄.

Συρακόσιον, ἱπποχάρμαν
βασιλῆα. λάμπει
δέ οἱ κλέος παρ᾽ εὐάνορι Λυδοῦ
Πέλοπος ἀποικίᾳ· τοῦ μεγασθενὴς
ἐράσσατο γαιάοχος Ποσειδᾶν,
ἐπεί νιν καθαροῦ λέβητος ἔξελε
Κλωθὼ, ἐλέφαντι φαίδιμον
ὦμον κεκαδμένον.
ἦ θαύματα πολλά.
καί πού τι καὶ βροτῶν φάτιν
ὑπὲρ τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
ἐξαπατῶντι μῦθοι·

Σ. β΄. Κ. ιζ΄.

χάρις δ᾽, ἅπερ ἅπαντα τεύ-
χει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν,
καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις.
ἁμέραι δ᾽ ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ᾽ ἀνδρὶ φάμεν
ἐοικὸς ἀμφὶ δαιμόνων κα-
λά· μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ᾽, ἀντί-

α προτέρων, φθέγξομαι,
ὁπότ' ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
ἔρανον, φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων
* * * *
Α. β'. Κ. ιζ'.
* * * *
ὡς δ' ἄφαντος ἔπε-
λες, οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον·
ἔννεπε κρυφᾷ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο, καὶ φάγον.
Ε. β'. Κ. ιγ'.
ἐμοὶ δ' ἄπορα, γαστρίμαργον
μακάρων τιν' εἰπεῖν.
ἀφίσταμαι. ἀκέρδεια λέλογχεν
θαμινὰ κακαγόρος. Εἰ δὲ δή τιν' ἄν-
δρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος οὗτος. ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη· κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον,
τάν οἱ πατὴρ ὑπερκρέμα-
σε, καρτερὸν αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,
εὐφροσύνας ἀλᾶται.
Σ. γ'. Κ. ιζ'.
ἔχει δ' ἀπάλαμον βίον
τοῦτον, ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον

πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
θέσσαν. εἰ δὲ θεὸν
ἀνήρ τις ἔλπεταί τι λασέ-
μεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν
ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον
αὖθις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

Α. γ'. Κ. ιζ'.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ἱπποδάμειαν
σχεθέμεν. ἄγχι δ' ἐλθὼν
πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
ἄπυεν βαρύκτυπον
εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποσὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· * *
* * * *
* * *
* πέδασον ἔγχος
Οἰνομάου χάλκεον·
ἐμὲ δ' ἐπὶ ταχυτά-
των πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον,
ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας, ἀναβάλλεται γάμον

Ε. γ'. Κ. ιγ'.

θυγατρός. ὁ μέγας δὲ κίνδυ-
νος ἄναλκιν οὐ φῶ-
τα λαμβάνει. θανεῖν δ' οἷσιν ἀνάγκα,

τι κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
καθήμενος ἕψοι μάταν, ἁπάντων
καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὑτοσὶ
ἆθλός γ' ὑποκείσεται· τὺ δὲ
πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀ-
κράντοις ἐφάψατ' ὦν ἔπεσ-
σι. τὸν μὲν ἀγάλλων θεὸς
ἔδωκεν δίφρον τε χρύσεον, πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

Σ. δ'. Κ. ιζ'.

ἕλεν δ' Οἰνομάου βίαν
παρθένον τε σύνευνον·
τέκε τε λαγέτας ἓξ
ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθεὶς,
τύμβον ἀμφίπολον
ἔχων πολυξενωτάτῳ πα-
ρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε, τᾶν Ὀ-
λυμπιάδων ἐν δρόμοις,
Πέλοπος, ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται,
ἀκμαί τ' ἰσχύος θρασύπονοι.
ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν,

Α. δ'. Κ. ιζ'.

ἀέθλων γ' ἕνεκεν. τὸ δ' ἀ-
εὶ παράμερον ἐσλὸν,
ὕπατον ἔρχεται παν-
τὶ Βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππίῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή. πέποιθα δὲ ξένον

μή τιν' ἀμφότερα
καλῶν τε ἴδριν ἄλλον, ἢ δύ-
  ναμιν κυριώτερον,
τῶν γε νῦν, κλυταῖσι δαιδα-
  λωσέμεν ὕμνων πτυχαῖς.
θεὸς, ἐπίτροπος ἐ-
  ὼν, τεαῖσι μήδεται,
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν. εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

Ε. δ'. Κ. ιγ'.

σὺν ἅρματι θοῷ κλεΐξειν,
ἐπίκουρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. ἐμοὶ μὲν ὦν Μοῖσα καρτερώ-
  τατον βέλος ἀλκᾷ τρέφει. ἐπ' ἄλλοι-
  σι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυ-
  φοῦται βασιλεῦσι. μηκέτι
πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν, ἐμέ
τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλ-
  λανας ἐόντα παντᾶ.

### ΕΙΔΟΣ Β.

## ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ

### ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιδ'.

ἈΝΑΞΙΦΟΡΜΙΓΓΕΣ ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἦτοι Πίσα μὲν Διός·
Ὀλυμπιάδα δ' ἔστα-
  σεν Ἡρακλέης,

ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπι
δίκαιον ξένον,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν·

Α. α΄. Κ. ιδ΄.

καμόντες οἳ πολλὰ θυμῷ,
ἱερὸν ἔσχον οἴκημα
ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμὸς, αἰὼν τ' ἔφε-
πε μόρσιμος, πλοῦτόν
τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ', ὦ Κρόνιε παῖ Ῥέας,
ἕδος Ὀλύμπου νέμων,
ἀέθλων τε κορυφὰν,
πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον

Ε. α΄. Κ. η΄.

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν,
ἀποίητον οὐδ' ἂν
χρόνος, ὁ πάντων πατὴρ,
δύναιτο θέμεν ἔργων τέλος.
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων,
πῆμα θνάσκει παλίγκοτον δαμασθὲν,

Σ. β΄. Κ. ιδ΄.

ὅταν θεοῦ μοῖρα πέμπῃ
ἀνεκὰς ὄλβον ὑψηλόν.
ἕπεται δὲ λόγος εὐθρόνοις

Κάδμοιο κούραις, ἔπα-
θον αἳ μεγάλα. πένθος
δ' ἐπίτνει βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ, τανυέθει-
ρα Σεμέλα· φιλεῖ
δέ μιν Παλλὰς αἰεὶ,
καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.

Α. β'. Κ. ιδ'.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος
ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅ-
λον ἀμφὶ χρόνον. Ἦτοι
βροτῶν κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ', ἀσύχιμον Ἁμέραν
ὁπότε, παῖδ' Ἁλίου,
ἀτειρεῖ σὺν ἀγαθῷ
τελευτάσομεν.
ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ
πόνων ἐς ἄνδρας ἔβαν.

Ε. β'. Κ. η'.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον,
θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει
παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗ περ ἔκτεινε Λάϊον μόριμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσσεν.

Σ. γ΄. Κ. ιδ΄.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς
πέφνεν ἑοῖ σὺν ἀλλαλο-
φονίᾳ γένος ἀρήϊον.
λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει,
νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν·
θάλος ἀρωγὸν δόμοις.
ὅθεν σπέρματος ἔχον-
τι ῥίζαν. πρέπει
τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν.

Α. γ΄. Κ. ιδ΄.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
γέρας ἔδεκτο· Πυθῶνι
δ' ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰσθμοῖ τε, κοινὰι χάρι-
τες ἄνθεα τεθρίππων
δυωδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν,
πειρώμενον ἀγωνίας,
παραλύει δυσφρόνων.
ὁ μὰν πλοῦτος ἀρεταῖς
δεδαιδαλμένος
φέρει τῶν τε καὶ τῶν
καιρὸν, βαθεῖαν ὑπέχων
μέριμναν ἀγροτέραν,

Ε. γ΄. Κ. η΄.

ἀστὴρ ἀρίζαλος, ἐτήτυμον
ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχει
τις, οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες

ποινὰς ἔτισαν. τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ, κατὰ γᾶς δικά-
ζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ.

Σ. δ'. Κ. ιδ'.

ἴσον δὲ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἁμέραις, ἅλι-
ον ἔχοντες, ἀπονέστερον
ἐσθλοὶ νέμονται βίο-
τον, οὐ χθόνα ταράσσον-
τες ἐν χερὸς ἀκμᾷ,
οὐδὲ πόντιον ὕδωρ,
κεινὰν παρὰ δίαιταν· ἀλ-
λὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαι-
ρον εὐορκίαις,
ἄδακρυν νέμονται
αἰῶνα. τοὶ δ' ἀπροσόρα-
τον ὀκχέοντι πόνον.

Α. δ'. Κ. ιδ'.

ὅσοι δ' ἐτόλμασαν ἐς τρὶς
ἑκατέρωθι μείναντες
ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχὰν, ἔτειλαν Διὸς
ὁδὸν παρὰ Κρόνου τύρ-
σιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄν-
θεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν, ἀπ' ἀ-
γλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει·
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι καὶ κεφαλας

Ε. δ'. Κ. η'.

βουλαῖς ἐν ὀρθαῖς Ῥαδαμάνθυος·
ὃν πατὴρ ἔχει Κρόνος ἑτοι-

μον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ' ἐπεὶ
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ·

Σ. ε΄. Κ. ιδ΄.

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
ἄμαχον ἀστραβῆ κίο-
να· Κύκνον τε θανάτῳ πόρεν·
Ἀοῦς τε παῖδ' Αἰθίο-
πα. Πολλά μοι ὑπ' ἀγκῶ-
νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς
δὲ τὸ πὰν, ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολ-
λὰ εἰδὼς φυᾷ.
μαθόντες δὲ, λάβροι
παγγλωσσίᾳ, κόρακες ὣς,
ἄκραντα γαρυέτον,

Α. ε΄. Κ. ιδ΄.

Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον,
ἄγε, θυμέ. τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστοὺς
ἱέντες; ἐπί τοι
ἀκράγαντι τανύσαις,
αὐδάσομεν ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν
γε ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

Ε. έ. Κ. ή.

Θήρωνος. Ἀλλ' αἶνον ἔβα κόρος
οὐ δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων
κρύφον τε θέμεν ἐσλῶν κακοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν.
ἐκεῖνος ὅσα χάρματ' ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

### ΕΙΔΟΣ Δ'.

## ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ.

### ΙΠΠΟΙΣ.

Σ. ά. Κ. ιέ.

ΕΛΑΤΗΡ ὑπέρτατε βροντᾶς
ἀκαμαντόποδος
Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ' ἔπεμψαν,
ὑψηλοτάτων μάρτυρ' ἀέθλων·
ξείνων δ' εὖ πρασσόντων, ἔσαναν
αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί·
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἀνεμόεσσαν ἑκατογ-
κεφάλα Τυφῶνος ὀμβρίμου,
οὐλυμπιονίκαν
δέκευ Χαρίτων ἕκα-
τι τόνδε Κῶμον,

Α. ά. Κ. ιέ.

χρονιώτατον φάος εὐρυ-
σθενέων ἀρετᾶν.
Ψαύμιος γὰρ ἥκει
ὀχέων· ὅς, ἐλαίᾳ στεφανωθεὶς

Πισάτιδι, κῦδος ὄρσαι
σπεύδει Καμαρίνα. Θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί μιν
αἰνέω, μάλα μὲν
τροφαῖς ἕτοιμον ἵππων,
χαίροντά τε ξεινίαις πανδόκοις,
καὶ πρὸς ἀσυχίαν φιλόπολιν
καθαρᾷ γνώμᾳ τετραμμένον.
οὐ ψευδεῖ τέγξω
λόγον. διάπειρά τοι
βροτῶν ἔλεγχος.

Ε. Κ. ιβ΄.

ἅ περ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν
δρόμον, ἔειπεν Ὑψιπυλείᾳ,
μετὰ στέφανον ἰών·
οὗτος ἐγὼ ταχυτᾶτι·
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις
ἐν ἀνδράσι πολιαὶ
θαμὰ, καὶ παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

ΕΙΔΟΣ Ζ΄.

## ΔΙΑΓΟΡΑΙ ΡΟΔΙΩΙ.

ΠΥΚΤΗΙ.

Σ. α΄. Κ. ια΄.

ΦΙΑΛΑΝ ὡς εἴ τις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν,
ἔνδον ἀμπέλου καχλάζοι-
σαν δρόσῳ, δωρήσεται
νεανίᾳ γαμβρῷ προπίνων

οἴκοθεν οἴκαδε, πάγ-
χρυσον, κορυφὰν κτεάνων,
συμποσίου τε χάριν, κᾶδός τε τιμά-
σαις ἑὸν, ἐν δὲ, φίλων
παρεόντων, θῆκέ μιν ζα-
λωτὸν ὁμόφρονος εὐνᾶς·

Α. α΄. Κ. ια΄.

καὶ ἐγὼ νέκταρ χυτὸν,
μοισᾶν δόσιν, ἀθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρ-
πὸν φρενός γ', ἱλάσκομαι
Οὐλυμπίᾳ Πυθοῖ τε νικών-
τεσσιν. ὁ δ' ὄλβιος, ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί.
ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
θάλμιος, ἁδυμελεῖ
θαμὰ μὲν φόρμιγγι, παμφώ-
νοισί τ' ἐν ἔντεσιν αὐλῶν.

Ε. α΄. Κ. ιγ΄.

καί νυν ὑπ' ἀμφοτέρων
σὺν Διαγόρα κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' Ἀφροδίτας
Ἀελίοιό τε, νύμφαν
Ῥόδον, εὐθυμάχαν
ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-
φειῷ στεφανωσάμενον
αἰνέσω, πυγμᾶς ἄποινα,
καὶ παρὰ Κασταλίᾳ,
πατέρα τε Δαμάγητον ἁδόντα Δίκᾳ,
Ἀσίας εὐρυχόρου
τρίπολιν νᾶσον πέλας
ἐμβόλω ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.

Σ. β΄. Κ. ια΄.

ἐθελήσω τοῖσιν ἐξ
ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶ-

σαι λόγων, Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ
πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
ματρόθεν, Ἀστυδαμείας. Ἀμφὶ δ' ἀνθρώ-
πων φρασὶν ἀμπλακίαι
ἀναρίθματοι κρέμανται.
τοῦτο δ' ἀμάχανον εὑρεῖν,

A. β'. K. ια'.

ὅ τι νῦν, καὶ ἐν τελευ-
τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Ἀλκμήνας κασίγνη-
τον νόθον σκάπτῳ θένων
σκληρᾶς ἐλαίας ἔκταν' ἐν Τί-
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας,
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς.
αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν. Μαν-
τεύσατο δ' ἐς θεὸν ἐλθών.

E. β'. K. ιγ'.

τῷ μὲν ὁ Χρυσοκόμας
εὐώδεος ἐξ ἀδύτου, ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
εὐθὺν ἐς ἀμφιθάλασσον
νομόν, ἔνθα ποτὲ
βρέχε θεῶν βασιλεὺς ὁ μέγας
χρυσαῖς νιφάδεσσι πόλιν,
ἀνίχ' Ἁφαίστου τέχναισι,
χαλκελάτῳ πελέκει,
πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ', ἀλάλα-
ξεν ὑπερμάκει βοᾷ.
οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.

Σ. γ'. K. ια'.

τότε καὶ φαυσίμβροτος

δαίμων Ὑπεριονίδας
μέλλον ἔντειλεν φυλάξα-
σθαι χρέος παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα, καὶ,
σεμνὰν θυσίαν θέμενοι,
πατρί τε θυμὸν ἰάναιεν Κόρᾳ τ' ἐγ-
χειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνθρώ-
ποισι προμαθέος αἰδώς.

Α. γ'. Κ. ια'.

ἐπὶ μὰν βαίνει τι καὶ
λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρ-
θὰν ὁδόν γ' ἔξω φρενῶν.
καί τοι γὰρ αἰθοίσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς οὔ·
τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει. κείνοις ὁ μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν,
πολὺν ὗσε χρυσόν· αὐτὰ
δέ σφισιν ὤπασε τέχναν

Ε. γ'. Κ. ιγ'.

πᾶσαν ἐπιχθονίων
Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι
φέρον. ἦν δὲ κλέος
βαθύ. Δαέντι δὲ καὶ σοφία
μείζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω, ὅτε
χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει
Ῥόδον ἔμμεν ποντίῳ·
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

Σ. δ'. Κ. ια'.

ἀπεόντος δ' οὔτις ἔν-
δειξεν λάχος Ἀελίου·
καί ῥά μιν χώρας ἀκλάρω-
τον λίπον ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν. ἀλλά μιν οὐκ
εἴασεν· ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾷν ἔνδον θαλάσσας
αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, καὶ εὔφρονα μάλοις.

Α. δ'. Κ. ια'.

ἐκέλευσεν δ' αὐτίκα
χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,
φαεννὸν ἐς αἰθέρα μιν
πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύτα-
σαν δὲ λόγων κορυφαὶ
ἐν ἀλαθείᾳ πετοῖσαι.
βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

Ε. δ'. Κ. ιγ'.

νᾶσος· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων.
ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς
τέκεν ἑπτὰ, σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους,
παῖδας· ὧν εἷς μὲν Κάμειρον,
πρεσβύτατόν τε Ἰά-
λυσον ἔτεκεν, Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,
διὰ γαῖαν τρίχα δασ-

σάμενοι, πατρωΐαν,
ἀστέων μοῖραν· κέκληνται δέ σφιν ἕδραι.
Σ. ε΄. Κ. ια΄.
τόθι λύτρον συμφορᾶς
οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥσπερ θεῷ,
μάλων τε κνισσάεσσα πομπὰ,
καὶ κρίσις ἀμφ᾽ ἀέθλοις.
τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς· κλεινᾷ τ᾽ ἐν Ἰσθμῷ
τετράκις εὐτυχέων,
νεμέᾳ τ᾽ ἄλλαν ἐπ᾽ ἄλλᾳ,
καὶ κρανααῖς ἐν Ἀθάναις.
Α. ε΄. Κ. ια΄.
ὅ, τ᾽ ἐν Ἄργει χαλκὸς ἔ-
γνω.μίν· τά τ᾽ ἐν Ἀρκαδίᾳ
ἔργα καὶ Θήβαις· ἀγῶνές
τ᾽ ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ᾽ ἑξάκις· ἐν Μεγάροι-
σίν τ᾽ οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. Ἀλλ᾽ ὦ Ζεῦ πάτερ νώ-
τοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν Ὀλυμπιονίκαν,
Ε. ε΄. Κ. ιγ΄.
ἄνδρα τε, πὺξ ἀρετὰν
εὑρόντα· δίδοι τέ οἱ αἰδοίαν χάριν,
καὶ ποτ᾽ ἀστῶν, καὶ ποτὶ ξεί-
νων· ἐπεὶ ὕβριος ἐχθρὰν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαεὶς, ἅτε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ᾽ ἀπὸ Καλλιάνα-

κτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
θαλίας καὶ πόλις. ἐν
δὲ μιᾷ μοίρᾳ χρόνου,
ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὖραι.

### ΕΙΔΟΣ ΙΑ'.

## ΑΓΗΣΙΔΑΜΩΙ ΛΟΚΡΩΙ ΕΠΙΖΕΦΥΡΙΩΙ

### ΠΑΙΔΙ ΠΥΚΤΗΙ.

Σ. α'. Κ. ϛ'.

ἜΣΤΙΝ ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα
χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων
ὀμβρίων, παίδων Νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχαὶ λόγων τέλλεται,
καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Α. α'. Κ. ϛ'.

ἀφθόνατος δ' αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει.
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπίδεσσιν.
ἴσθι νῦν, Ἀρχεστράτου παῖ, τεᾶς,
Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

Ε. α'. Κ. ι'.

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω, τῶν Ἐπι-
ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ', ἐγγυάσομαι
μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν,
μήδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν, ἀφίξεσθαι. Τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες
διαλλάξαιντο ἦθος.

## ΕΙΔΟΣ ΙΓ'.

# ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩΙ.

## ΣΤΑΔΙΑΔΡΟΜΩΙ ΚΑΙ ΠΕΝΤΑΘΛΩΙ.

Σ. α'. Κ. ια'.

ΤΡΙΣΟΛΥΜΠΙΟΝΙΚΑΝ ἐπαινέων
οἶκον, ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον Ποσειδᾶνος, ἀγλαόκουρον.
ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασίγνη-
ταί τε, βάθρον πολίων
ἀσφαλὲς Δίκα, καὶ ὁμό-
τροπος Εἰράνα, ταμίαι
ἀνδράσι πλούτου, χρύσεαι
παῖδες εὐβούλου Θέμιτος,

Α. α'. Κ. ια'.

ἐθέλοντι δ' ἀλεξεῖν Ὕβριν, Κόρου
ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δὲ, παῖδες Ἀλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν
ὤπασάν γ' ἄκραις ἀρεταῖς
ὑπερελθόντων ἱεροῖς
εἰν ἀέθλοισιν, πολλὰ δ' ἐν
καρδίαις ἀνδρῶν ἔβαλον

Ε. α'. Κ. ια'.

ὧραι πολυάνθεμοι ἀρ-
χαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον.
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ Χάριτες
διθυράμβῳ; τίς γὰρ ἱππεί-
οις ἐν ἔντεσσιν μέτρα,

ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυ-
μον ἔθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,
ἐν δ' Ἄρης ἀνθεῖ νέων
οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

Σ. β'. Κ. ιά.

ὕπατ', εὐρὺ ἀνάσσων Ὀλυμπίας,
ἀφθόνατος ἔπεσσιν
γένοιο, χρόνον ἅπαντα, Ζεῦ πάτερ,
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τε-
θμὸν, τὸν ἄγει πεδίων
ἐκ Πίσας, πεντάθλῳ ἅμα
σταδίου νικῶν δρόμον· οὐκ
ἀντεβόλησεν τῶν ἀνὴρ
θνατὸς οὔπω τις πρότερον.

Α. β'. Κ. ιά.

δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
νων ἐν Ἰσθμιάδεσσιν
φανέντα. Νεμέα τ' οὐκ ἀντιξοεῖ.
πατρὸς δὲ Θεσσαλοῦ ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται.
πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου
θ', ἁλίῳ ἀμφ' ἑνί. μη-
νός τέ οἱ τωὐτοῦ κρανααῖς
ἐν Ἀθάναισι τρία μὰν
ἔργα ποδαρκὴς ἁμέρα
θῆκε κάλλιστ' ἀμφὶ κόμαις.

Ε. β'. Κ. ιά.

Ἑλλώτια δ' ἑπτάκις. ἐν
δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψία θ' ἕψοντ' Ἐριτι-
μοί τ' ἀοιδαί. ὅσσα τ' ἐν Δελ-
φοῖσιν ἀριστεύσατε,

ἠδὲ χόρτοις ἐν λέοντος.
δηρίομαι πολέσιν
περὶ πλήθει καλῶν. ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.

Σ. γ΄. Κ. ια΄.

ἕπεται δ' ἐν ἑκάστῳ μέτρον· νοῆ-
σαι δὲ καιρὸς ἄριστος.
ἐγὼ γὰρ ἴδιος ἐν κοινῷ σταλεὶς
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ. Σίσυφον μὲν
πυκνότατον παλάμαις,
ὡς θεόν· καὶ τὰν πατρὸς ἀν-
τία Μήδειαν θεμέναν
τὸν γάμον αὐτᾷ, ναῒ σῶ-
τειραν Ἀργοῖ καὶ προπόλοις.

Α. γ΄. Κ. ια΄.

τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου
τειχέων ἐδόκησαν
ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος·
τοὶ μὲν, γένει φίλῳ σὺν Ἀτρέως,
Ἑλέναν κομίζοντες· οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες. ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί.
τοῖσι μὰν ἐξεύχετ', ἐν ἄ-
στεϊ Πειράνας σφετέρου
μὲν πατρὸς ἀρχὰν καὶ βαθὺν
κλᾶρον ἔμμεν καὶ μέγαρον,

Ε. γ΄. Κ. ια΄.

ὃς τᾶς ὀφιώδεος υἱ-
όν ποτε Γοργόνος, ἦ πόλλ', ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων, ἔπαθεν,
πρίν γέ οἱ χρυσάμπυκα κού-
ρα χαλινὸν Παλλὰς ἤνεγ-
κ'· ἐξ ὀνείρου δ' αὐτίκα

ἦν ὕπαρ· φώνασε δ'· εὕδεις,
αἰολίδα βασιλεῦ;
ἄγε φίλτρον τόδ' ἵππειον δέκευ,
καὶ Δαμαίῳ μὶν, θύων
ταῦρον ἀργὸν, πατρὶ δεῖξον.

Σ. δ'. Κ. ια'.

κυαναιγὶς ἐν ὄρφνᾳ κνώσσοντί οἱ
παρθένος τόσα εἰπεῖν
ἔδοξεν. ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
πράγματος, ὥς τ' ἀνὰ βω-
μῷ θεᾶς κοιτάξατο νύ-
κτ', ἀποκείνου χρήσιος· ὅπ-
πως τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χεικεραύνου παῖς ἔπορεν

Α. δ'. Κ. ια'.

δαμασίφρονα χρυσόν. ἐνυπνίῳ
δ' ὡς τάχιστα πιθέσθαι
κελήσατό μιν. ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' αὖ ἐρύῃ Γαιαόχῳ,
θέμεν Ἱππείᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
πληροῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον
καὶ παρὰ ἐλπίδα κού-
φαν κτίσιν γ'. ἦ τοι καὶ ὁ καρ-
τερὸς ὁρμαίνων ἔλαβεν
βελλεροφόντας, φάρμακον
πραῢ τείνων ἀμφὶ γένυ,

Ε. δ'. Κ. ια'.

ἵππον πτερόεντ'. ἀναβὰς
δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δ' ἐκείνῳ καί ποτ' Ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρήμου τοξόταν βάλ-
λων γυναικεῖον στρατὸν,

καὶ Χίμαιραν πῦρ πνέοισαν,
καὶ Σολύμους ἔπεφνεν.
διασωπάσομαι αὐτῷ μόρον.
τὸν δ᾽ ἐν Οὐλύμπῳ φάτναι
Ζηνὸς ἀρχεῖαι δέχονται.

Σ. έ. Κ. ιά.

ἐμὲ δ᾽, εὐθὺν ἀκόντων ἱέντα ῥόμ-
βον, παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις, ἑκὼν
Ὀλιγαιθίδαισίν τ᾽ ἔβαν ἐπίκουρος
Ἰσθμοῖ, τά τ᾽ ἐν Νεμέᾳ. Παύρῳ δ᾽ ἔπει θή-
σω φανέρ᾽ ἀθρό᾽, ἀλα-
θής τέ μοι ἔξορκος ἐπέσ-
σεται· ἑξηκοντάκι δὴ
ἀμφοτέρωθέν γ᾽ ἁδύγλωσ-
σος βοὰ κάρυκος ἐσλοῦ.

Α. έ. Κ. ιά.

τὰ δ᾽ Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤ-
δη πάροιθε λελέχθαι.
τά τ᾽ ἐσσόμενα τότ᾽ ἂν φαίην σαφές·
νῦν δ᾽ ἔλπομαι μέν. ἐν θεῷ γε μὰν
τέλος. εἰ δὲ δαίμων γενέθλιος ἕρποι,
Διῒ τοῦτ᾽ Ἐνυαλίῳ τ᾽ ἐκδώσομεν πράσ-
σειν. τὰ δ᾽ ἐπ᾽ ὀφρύϊ Παρ-
νασσίᾳ, ἀμφ᾽ Ἄργεΐ θ᾽ ὅσ-
σα. καὶ ἐν Θήβαις. ὅσα τε
ἀρκάσ᾽ ἀνάσσων, μαρτυρή-
σει Λυκαίου βωμὸς ἄναξ,

Ε. έ. Κ. ιά.

Πελλάνα τε, καὶ Σικυὼν,
καὶ Μέγαρ᾽, Αἰακιδᾶν τ᾽ εὐερκὲς ἄλσος,
ἅ τ᾽ Ἐλευσὶς, καὶ λιπαρὰ Μαραθὼν,
ταί θ᾽ ὑπ᾽ Αἴτνας ὑψιλόφου
καλλίπλουτοι πόλιες, ἅ τ᾽ Εὔ-
βοια. καὶ πᾶσαν κατὰ

Ἑλλάδ' εὑρήσεις ἐρευνῶν
μάσσον', ἢ ὡς ἰδέμεν.
ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσὶν,
Ζεῦ τέλει', αἰδῶ δίδοι
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

# PYTHIA.

## ΕΙΔΟΣ Α'.

## ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩΙ

### ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιβ'.
ΧΡΥΣΕΑ φόρμιγξ, Ἀπόλλω-
νος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον·
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχὰ,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν τῶν φροιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,
Α. α'. Κ. ιβ'.
ἀρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατὶ, γλεφάρων
ἁδὺ κλαΐστρον, κατέχευας. ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν

ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
κώματι. κῆλα δὲ καὶ
δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-
τοίδα σοφίᾳ βαθυκόλ-
πων τε Μοισᾶν.

E. α'. K. ιε'.

ὅσσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζεται βοὰν
Πιερίδων ἀΐοντα,
γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖ-
ται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει
στέρνα λαχνάεντα· κίων
δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες
χιόνος ὀξείας τιθήνα·

Σ. β'. K. ιβ'.

τᾶς ἐρεύγονται μὲν ἀπλά-
του πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ
δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιόν τι ἰδέ-
σθαι· θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι,

A. β'. K. ιβ'.

οἷον Αἴτνας ἐν μελαμφύλ-

λοις δέδεται κορυφαῖς
καὶ πέδῳ· στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα· Πυθιάδος
δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν ἀγ-
γέλλων Ἱέρωνος ὑπὲρ
καλλινίκου

Ε. β'. Κ. ιε'.

ἅρμασι. Ναυσιφορήτοις
δ' ἀνδράσι πρώτα χάρις
ἐς πλόον ἀρχομένοις πομ-
παῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
καὶ τελευτὰν φερτέραν νό-
στου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι στεφάνοι-
σί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε καὶ Δάλου ἀνάσσων
Φοῖβε, Παρνασῶ τε κράναν
Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν.

Σ. γ'. Κ. ιβ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶ-
σαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν. Ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν, ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσεί τ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.

εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι.
Α. γ'. Κ. ιβ'.
ἦ κεν ἀμνάσειεν, οἵαις
ἐν πολεμοισι μάχαις
τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' εὑρίσκοιτο θεῶν παλάμαις τιμὰν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. Νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ μιν φίλον
καί τις ἐὼν μεγαλά-
νωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταμεί-
βοντας ἐλθεῖν
Ε. γ'. Κ. ιέ.
ἥρωας ἀντιθέους Ποί-
αντος υἱὸν τοξόταν·
ὃς Πριάμοιο πόλιν πέρ-
σεν, τελεύτασέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων·
ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν
ἔραται, καιρὸν διδούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πείθεό μοι ποινὰν τεθρίππων.
χάρμα δ' οὐκ ἀλλότριον νι-
καφορία πατέρος.
ἄγ', ἔπειτ' Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον,
Σ. δ'. Κ. ιβ'.
τῷ πόλιν κείναν θεοδμά-
τῳ σὺν ἐλευθερίᾳ

Ὑλλίδος στάθμας Ἱέρων
ἐν νόμοις ἔκτισσ᾽ ἐθέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωρίοις. ἔσχον δ᾽ Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι,
λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.

Α. δʹ. Κ. ιβʹ.

Ζεῦ τέλει᾽, αἰεὶ δὲ τοιαύ-
ταν Ἀμένα παρ᾽ ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοί τίν κεν ἁγητὴρ ἀνὴρ
υἱῷ γ᾽ ἐπιτελλόμενος δᾶμόν γεραί-
ρων τράποι σύμφωνον ἐφ᾽ ἁσυχίαν.
λίσσομαι, νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ᾽ οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ᾽ ἀλαλατὸς ἔχῃ,
ναυσίστονον ὕβριν ἰδὼν,
τὰν πρὸ Κύμας·

Ε. δʹ. Κ. ιεʹ.

οἷα Συρακοσίων ἀρ-
χῷ δαμασθέντες πάθον.
ὠκυπόρων ἀπὸ ναῶν
ὅς σφιν ἐν πόντῳ βάλεθ᾽ ἁλικίαν,
Ἑλλάδ᾽ ἐξέλκων βαρείας
δουλίας. αἱρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν· ἐν Σπάρτᾳ δ᾽ ἐρέων
πρὸ Κιθαιρῶνος μάχαν·
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι·
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα, παίδεσσιν ὕμνον

δεινομένευς τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων.

Σ. έ. Κ. ιβ'.

καιρὸν εἰ φθέγξαιο, πολλῶν
πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας.
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμῶν φθόνος,
μὴ παρίει καλά. νώ-
μα δικαίῳ πηδαλίῳ στρατόν. ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.

Α. έ. Κ. ιβ'.

εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν.
μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις
κέρδεσσ'. Ὀπιθόμβροτον αὔ-
χημα δόξας

Ε. έ. Κ. ιέ.

οἷον ἀποιχομένων ἀν-
δρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς·
οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.
τὸν δὲ ταύρῳ χαλκέῳ καυ-
τῆρα νηλέα νόον

ἐχθρὰ Φάλαριν κατέχει παντᾶ φάτις.
οὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κρινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέχονται.
τὸ δὲ παθεῖν εὖ, πρῶτον ἄθλων·
εὖ δ' ἀκούειν, δευτέρα μοῖ-
ρ'. ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ,
στέφανον ὕψιστον δέδεκται.

### ΕΙΔΟΣ Γ'.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩΙ

### ΚΕΛΗΤΙ.

Σ. α'. Κ. ιγ'.

ἭΘΕΛΟΝ Χείρωνά κε Φιλλυρίδαν,
εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσ-
σας κοινὸν εὔξασθαι ἔπος,
ζώειν τὸν ἀποιχόμενον,
οὐρανίδα γόνον εὐ-
ρυμέδοντα Κρόνου,
βάσσαισί τ' ἄρχειν Παλίου
φῆρ' ἀγρότερον,
νόον ἔχοντ' ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν θρέψεν ποτὲ
τέκτονα νωδυνιᾶν
ἅμερον γυιαρκέων Ἀσκλαπιὸν,
ἥρωα, παντοδαπᾶν ἀλκτῆρα νούσων.

Α. α'. Κ. ιγ'.

τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλει-
θυίᾳ, δαμεῖσα χρυσέοις
τόξοισιν ὑπ' Ἀρτέμιδος,
εἰς Ἀίδα δόμον ἐν
θαλάμῳ κατέβα,
τέχναις Ἀπόλλωνος. χόλος

δ' οὐκ ἀλίθιος
γίνεται παίδων Διός. ἁ
δ' ἀποφλαυρίξαισά μιν
ἀμπλακίαισι φρενῶν,
ἄλλον αἴνησεν γάμον, κρύβδαν πατρὸς * *

E. α'. K. ιέ.

* * * * ἀλλά τοι
ἤρατο τῶν ἀπεόν-
τῶν. οἷα καὶ πολλοὶ πάθον.
ἔστι δὲ φῦλον ἐν ἀν-
θρώποισι ματαιότατον,
ὅστις, αἰσχύνων ἐπιχώ-
ρια, παπταίνει τὰ πόρσω,
μεταμώνια θη-
ρεύων ἀκράντοις ἐλπίσιν.

Σ. β'. K. ιγ'.

ἔσχε τοιαύταν μεγάλαν ἀάταν
καλλιπέπλου λῆμα Κορωνίδος. ἐλ-
θόντος γὰρ εὐνάσθη ξένου
λέκτροισιν ἀπ' Ἀρκαδίας.
οὐ δ' ἔλαθε σκοπόν· ἐν
δ' ἄρα μηλοδόκῳ
Πυθῶνι τόσσαις ἄϊεν
ναοῦ βασιλεὺς
Λοξίας κοινᾶνι παρ' εὐ-
θυτάτῳ, γνώμᾳ πιθών,
πάντα ἴσαντι νόῳ,
ψευδέων δ' οὐχ ἅπτεται· κλέπτει τέ νιν
οὐ θεὸς, οὐ βροτὸς, ἔργοις οὔτε βουλαῖς.

A. β'. K. ιγ'.

καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα
ξεινίαν κοίταν ἄθεμίν τε δόλον,
πέμψεν κασιγνήταν μένει
θύοισαν ἀμαιμακέτῳ
ἐς Λακέρειαν. ἐπεὶ
παρὰ Βοιβιάδος

κρημνοῖσιν ᾤκει παρθένος.
δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαις ἐδαμά-
  σατό νιν· καὶ γειτόνων
πολλοὶ ἐπαῦρον, ἁμᾶ
δ' ἔφθαρεν, πολλὰν τ' ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.
E. β'. K. ιέ.
ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμε
λάβρον Ἁφαίστου, τότ' εἶ-
  πεν Ἀπόλλων· οὐκ ἔτι
τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ,
ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο. βάματι δ' ἐν
πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε. καιομένα
δ' αὐτῷ διέφαινε πυρά.
καί ῥά μιν Μάγνητι φέρων
πόρε Κενταύρῳ, διδάξαι
πολυπήμονας ἀν-
  θρώποισιν ἰᾶσθαι νόσους.
Σ. γ'. K. ιγ'.
τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ
χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περ-
  θόμενοι δέμας ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλ-
  λοίων ἀχέων
ἔξαγεν· τοὺς μὲν μαλακαῖς
ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πί-
  νοντας, ἢ γυίοις περιάπτων πάντοθεν

φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.
Α. γ΄. Κ. ιγ΄.
ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μι-
σθῷ χρυσὸς ἐν χερσὶν φανεὶς,
ἄνδρ' ἐκ θανάτου κομίσαι,
ἤδη ἀλωκότα. χερ-
σὶ δ' ἄρα Κρονίων
ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν
στέρνων καθέλεν
ὠκέως· αἴθων δὲ κεραυ-
νὸς ἐνέσκιμψεν μόρον.
χρὴ τὰ ἐοικότα πὰρ
δαιμόνων μαστευέμεν θναταῖς φρασὶν,
γνόντα τὸ πὰρ ποδὸς, οἵας εἰμὲν αἴσας.
Ε. γ΄. Κ. ιέ.
μὴ, φίλα ψυχὰ, βίον ἀθάνατον
σπεῦδε· τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
εἰ δὲ σώφρων ἄντρον ἔναι'
ἔτι Χείρων, καί τί οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν· ἰ-
ατῆρά τοί κέν νιν πίθον
καί νυν ἐσλοῖσι παρα-
σχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα
κεκλημένον ἢ πατέρος.
καί κεν ἐν ναυσὶν μόλον Ἰ-
ονίαν τέμνων θάλασσαν,
ἀρέθουσαν ἐπὶ
κράναν, παρ' Αἰτναῖον ξένον,
Σ. δ΄. Κ. ιγ΄.
ὃς Συρακόσσαισι νέμει, βασιλεὺς
πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς,
ξείνοις δὲ θαυμαστὸς πατὴρ.
τῷ μὲν διδύμας χάριτας,

εἰ κατέβαν, Ὑγίει-
  αν ἄγων χρυσέαν
κῶμόν τ' ἀέθλων Πυθίων,
αἴγλαν στεφάνοις,
τοὺς ἀριστεύων Φερένι-
  κος ἕλ' ἐν Κίρρᾳ ποτέ·
ἀστέρος οὐρανίου,
φαμί, τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε, βαθὺν πόντον περάσαις.

Α. δ'. Κ. ιγ'.

ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον
σὺν Πανὶ μέλπονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν
κορυφάν, Ἱέρων,
ὀρθὰν ἐπίστα, μανθάνων
οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν, πήματα σὺν
δύο δαίονται βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὦν
οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

Ε. δ'. Κ. ιε'.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας
πότμος. αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ,
οὔτε παρ' ἀντιθέῳ
Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ
σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει
μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄϊον Θήβαις, ὁπόθ' Ἀρ-

μονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐ-
βούλου Θέτιν παῖδα κλυτάν

Σ. έ. Κ. ιγ'.

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις·
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
χρυσέαις ἐν ἕδραις, ἕδνα τε
δέξαντο· Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων
ἔστασαν ὀρθὰν καρδίαν.
ἐν δ' αὖτε χρόνῳ,
τὸν μὲν ὀξείαισι θύγα-
τρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ
τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

Α. έ. Κ. ιγ'.

τοῦ δὲ παῖς, ὅν περ μόνον ἀθανάτα
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ
τόξοις ἀπὸ ψυχὰν λιπὼν
ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. Εἰ
δὲ νόῳ τις ἔχει
θνατῶν ἀλαθείας ὁδόν,
χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλ-
λοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων.
ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται,
οὔ, πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.

Ε. έ. Κ. ιέ.

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
ἔσσομαι· τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶ
δαίμον' ἀσκήσω κατ' ἐμὰν
θεραπεύων μαχανάν.

εἰ δέ μοι πλοῦτον θεὸς ἀβρὸν ὀρέξαι,
ἐλπίδ' ἔχω κλέος εὑ-
ρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον
Σαρπηδόν', ἀνθρώπων φάτις,
ἐξ ἐπέων κελαδεν-
νῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν, γινώσκομεν. ἁ
δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει.
παύροις δὲ πράξασθ' εὐμαρές.

ΕΙΔΟΣ Δ'.

## ΑΡΚΕΣΙΛΑΙ ΚΥΡΗΝΑΙΩΙ

### ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ιδ'.

ΣΑΜΕΡΟΝ μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
στάμεν, εὐίππου βασιλῆϊ Κυρά-
νας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
μοῖσα, Λατοίδαισιν ὀφειλόμενον
Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων.
ἔνθα ποτὲ χρυσέων
Διὸς αἰητῶν πάρεδρος,
οὐκ ἀποδάμου Ἀπόλ-
λωνος τυχόντος, ἱέρεα
χρῆσεν οἰκιστῆρα Βάττον
καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν
κτίσσειεν εὐάρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ,

Α. α'. Κ. ιδ'.

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι-
θ' ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ
Θήραιον, Αἰήτα τό ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος,

δέσποινα Κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰά-
σονος αἰχματᾶο ναύταις·
Κέκλυτε, παῖδες ὑπερ-
θύμων τε φωτῶν καὶ θεῶν·
Φαμὶ γὰρ τᾶς δ' ἐξ ἁλιπλάκ-
του ποτὲ γᾶς Ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύ-
σεσθαι μελησίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

Ε. α'. Κ. ιγ'.

ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων
ἵππους ἀμείψαντες θοάς,
ἀνία τ' ἀντ' ἐρετμῶν
δίφρους τε νωμάσοισιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκτελευτά-
σει, μεγάλαν πολίων ματρόπολιν
Θήραν γενέσθαι, τόν ποτε
Τριτωνίδος ἐν προχοαῖς
λίμνας θεῷ ἀνέρι εἰδομένῳ
γαῖαν διδόντι ξείνια
πρώραθεν Εὔφαμος καταβὰς
δέξατ'· αἴσιον δ' ἐπί οἱ Κρονίων
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·

Σ. β'. Κ. ιδ'.

ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν
ναΐ κρημνάντων ἐπέτοσσε, θοᾶς
Ἀργοῦς χαλινόν. δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ ὠκεανοῦ φέρομεν
νώτων ὕπερ γαίας ἐρήμων
εἰνάλιον δόρυ, μή-
δεσιν ἀνσπάσσαντες ἁμοῖς.
τουτάκι δ' οἰοπόλος
δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν
θηκάμενος. φιλίων δ' ἐπέων

ἄρχεται, ξείνοις ἅτ᾽ ἐλ-
θόντεσσιν εὐεργέται
δεῖπν᾽ ἐπαγγέλλοντι πρῶτον.

Α. β΄. Κ. ιδ΄.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυεν μεῖναι. φάτο δ᾽, Εὐρύπυλος
γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα
ἔμμεναι. γίγνωσκε δ᾽ ἐπειγομένους.
ἂν δ᾽ εὐθὺς ἁρπάξαις ἀρούρας
δεξιτερᾷ προτυχὸν
ξένιον μάστευσε δοῦναι.
οὐδ᾽ ἀπίθησέ νιν, ἀλ-
λ᾽ ἥρως, ἐπ᾽ ἀκταῖσιν θορὼν,
χειρί οἱ χεῖρ᾽ ἀντερείσαις
δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ᾽ αὐτὰν κατα-
κλυσθεῖσαν ἐκ δούρατος
ἐναλίου βᾶμεν σὺν ἅλμᾳ,

Ε. β΄. Κ. ιγ΄.

ἑσπέρας ὑγρῷ πελάγει σπομέναν.
ἦ μάν νιν ὤτρυνεν θαμὰ
λυσιπόνοις θεραπόν-
τεσσιν φυλάξαι· τῶν δ᾽ ἐλάθοντο φρένες.
καί νυν ἐν τᾷδ᾽ ἄφθιτον νά-
σῳ κέχυται Λιβύας εὐρυχόρου
σπέρμα, πρὶν ὥρας. εἰ γὰρ οἴ-
κοι νιν βάλε πὰρ χθόνιον
ἀΐδα στόμα, Ταίναρον εἰς ἱερὰν
Εὔφαμος ἐλθὼν, υἱὸς ἱπ-
πάρχου Ποσειδάωνος, ἄναξ,
τόν ποτ᾽ Εὐρώπα Τιτυοῦ θυγάτηρ
τίκτε Καφισοῦ παρ᾽ ὄχθαις·

Σ. γ΄. Κ. ιδ΄.

τετράτων παίδων κ᾽ ἐπιγεινομένων
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς
εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας

ἐξανίστανται Λακεδαίμονος Ἀρ-
γείου τε κόλπου καὶ Μυκηνᾶν.
νῦν γε μὲν ἀλλοδαπᾶν
κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ
κεν, τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες, τέκωνται
φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν πολυ-
χρύσῳ ποτ᾽ ἐν δώματι
φοῖβος ἀμνάσει θέμισσιν,

Α. γʹ. Κ. ιδʹ.

Πύθιον ναὸν καταβάντα, χρόνῳ
ὑστέρῳ νάεσσι πολεῖς ἄγαγεν
Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.
αἵ ῥα Μηδείας ἐπέων στίχες. ἔ-
πταξαν δ᾽ ἀκίνητοι σιωπᾷ
ἥρωες ἀντίθεοι,
πυκινὰν μῆτιν κλύοντες.
ὦ μάκαρ υἱὲ Πολυ-
μνάστου, σὲ δ᾽ ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσεν μελίσσας
Δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν εἰς τρὶς αὐ-
δάσασα, πεπρωμένον
βασιλέ᾽ ἄμφανεν Κυράνᾳ,

Ε. γʹ. Κ. ιγʹ.

δυσθρόου φωνᾶς ἀνακρινόμενον
ποινὰ τίς ἔσται, πρὸς θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ
νῦν, ὥττε φοινικανθέμου ἦρος ἀκμᾷ,
παισὶ τούτοις ὄγδοον θάλ-
λει μέρος Ἀρκεσίλας· τῷ μὲν Ἀπόλ-
λων ἅ, τε Πυθὼ κῦδος ἐξ
ἀμφικτιόνων ἔπορεν
ἱπποδρομίας. ἀπὸ δ᾽ αὐτὸν ἐγὼ

μοίσαισι δώσω, καὶ τὸ πάγ-
χρυσον νάκος κριοῦ. μετὰ γὰρ
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-
ποί σφισιν τιμαὶ φύτευθεν.

Σ. δ'. Κ. ιδ'.

τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;
τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαν-
τος δῆσεν ἅλοις; θέσφατον ἦν Πελίαν
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν
χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις.
ἦλθε δέ οἱ κρυόεν
πυκινῷ μάντευμα θυμῷ,
πὰρ μέσον ὀμφαλὸν εὐ-
δένδροιο ῥηθὲν ματέρος·
τὸν μονοκρήπιδα πάντως
ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ
σταθμῶν ἐς εὐδείελον
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ

Α. δ'. Κ. ιδ'.

ξεῖνος, αἴτ' ὦν ἀστός. ὁ δ' ἄρα χρόνῳ
ἵκετ', αἰχμαῖσιν διδύμαισιν, ἀνὴρ
ἔκπαγλος. ἐσθὰς δ' ἀμφοτερόν νιν ἔχεν,
ἅτε Μαγνήτων ἐπιχώριος, ἀρ-
μόζοισα θαητοῖσι γυίοις,
ἀμφὶ δὲ παρδαλέᾳ
στέγετο φρίσσοντας ὄμβρους.
οὐδὲ κομᾶν πλόκαμοι
κερθέντες ᾤχοντ' ἀγλαοὶ,
ἀλλ' ἅπαν νῶτον καταίθυσ-
σον. τάχα δ', εὐθὺς ἰὼν, σφετέρας
ἐστάθη γνώμας ἀταρ-
βάτοιο πειρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

Ε. δ'. Κ. ιγ'.

τὸν μὲν οὐ γίνωσκον. ὀπιζομένων

δ' ἔμπας τὶς εἶπεν καὶ τόδε·
οὔ τί που οὗτος Ἀπόλ-
λων. οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας. ἐν δὲ Νάξῳ
φαντὶ θανεῖν λιπαρᾷ Ἰφιμεδεί-
ας παῖδας, Ὦτον καὶ σὲ, τολ-
μάεις Ἐφιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος
θήρευσε κραιπνὸν, ἐξ ἀνι-
κάτου φαρέτρας ὀρνύμενον·
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
των ἐπιψαύειν ἔραται.

Σ. έ. Κ. ιδ'.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ'. ἀνὰ δ' ἡμιόνοις
ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων. τάφε δ', αὐτίκα πα-
πτάναις ἀρίγνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμ-
φὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· ποί-
αν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώ-
πων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκεν γαστρός; ἐ-
χθίστοισι μὴ ψεύδεσι
καταμιάναις εἰπὲ γένναν.

Α. έ. Κ. ιδ'.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ' ἀμείφθη· φαμὶ διδασκαλίαν
Χείρωνος οἴσειν. ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κεν-
ταύρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις
ἐνιαυτοὺς, οὔτε ἔργον
οὔτ' ἔπος εὐτράπελον

κείνοισιν εἰπὼν, ἱκόμαν
οἴκαδ', ἀρχαίαν κομίζων
πατρὸς ἐμοῦ, βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε
Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ, τιμάν.

Ε. έ. Κ. ιγ'.

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν,
λευκαῖς πιθήσαντα φρασὶν,
ἁμετέρων ἀποσυ-
λᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον
φέγγος, ὑπερφιάλου ἁγεμόνος
δείσαντες ὕβριν, κᾶδος ὡσ-
εί τε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι μίγα κω-
κυτῷ γυναικῶν κρύβδα πέμ-
πον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδὸν, Κρονίδᾳ
δὲ τράφεν Χείρωνι δῶκαν.

Σ. ς'. Κ. ιδ'.

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων,
κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως.
Αἴσονος γὰρ παῖς, ἐπιχώριος, οὐ
ξείναν ἱκόμαν γαῖαν ἄλλων.
φὴρ δέ με θεῖος Ἰά-
σονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν ἐσελ-
θόντ' ἔγνον ὀφθαλμοὶ πατρός.
ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν
δάκρυα γηραλέων γλεφάρων·
ἂν περὶ ψυχὰν ἐπεὶ
γάθησεν, ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

δ' ἔμπας τὶς εἶπεν καὶ τόδε·
οὔ τί που οὗτος Ἀπόλ-
λων. οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας. ἐν δὲ Νάξῳ
φαντὶ θανεῖν λιπαρᾷ Ἰφιμεδεί-
ας παῖδας, Ὦτον καὶ σὲ, τολ-
μάεις Ἐφιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος
θήρευσε κραιπνὸν, ἐξ ἀνι-
κάτου φαρέτρας ὀρνύμενον·
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
των ἐπιψαύειν ἔραται.

Σ. έ. Κ. ιδ'.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ'. ἀνὰ δ' ἡμιόνοις
ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων. τάφε δ', αὐτίκα πα-
πτάναις ἀρίγνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμ-
φὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· ποί-
αν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώ-
πων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκεν γαστρός; ἐ-
χθίστοισι μὴ ψεύδεσι
καταμιάναις εἰπὲ γένναν.

Α. έ. Κ. ιδ'.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ' ἀμείφθη· φαμὶ διδασκαλίαν
Χείρωνος οἴσειν. ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κεν-
ταύρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις
ἐνιαυτοὺς, οὔτε ἔργον
οὔτ' ἔπος εὐτράπελον

κείνοισιν εἰπὼν, ἱκόμαν
οἴκαδ', ἀρχαίαν κομίζων
πατρὸς ἐμοῦ, βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε
Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ, τιμάν.

Ε. έ. Κ. ιγ΄.

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν,
λευκαῖς πιθήσαντα φρασὶν,
ἁμετέρων ἀποσυ-
λᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον
φέγγος, ὑπερφιάλου ἁγεμόνος
δείσαντες ὕβριν, κᾶδος ὡσ-
εί τε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι μίγα κω-
κυτῷ γυναικῶν κρύβδα πέμ-
πον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδὸν, Κρονίδᾳ
δὲ τράφεν Χείρωνι δῶκαν.

Σ. ϛ΄. Κ. ιδ΄.

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων,
κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως.
Αἴσονος γὰρ παῖς, ἐπιχώριος, οὐ
ξείναν ἱκόμαν γαῖαν ἄλλων.
φὴρ δέ με θεῖος Ἰά-
σονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν ἐσελ-
θόντ' ἔγνον ὀφθαλμοὶ πατρός.
ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν
δάκρυα γηραλέων γλεφάρων·
ἂν περὶ ψυχὰν ἐπεὶ
γάθησεν, ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

Α. ϛ. Κ. ιδ'.

καὶ κασίγνητοί σφισιν ἀμφότεροι
ἤλυθον, κείνου γε κατὰ κλέος· ἐγ-
γὺς μὲν Φέρης, κράναν Ὑπερῆδα λιπών,
ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως
δ' Ἄδματος ἷκεν καὶ Μέλαμπος
εὐμενέοντες ἀνε-
ψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις
αὐτοὺς Ἰάσων δέγμενος,
ξείνι' ἁρμόζοντα τεύχων,
πᾶσαν ἐν εὐφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν
νύκτεσσιν ἔν θ' ἁμέραις
ἱερὸν εὐζωᾶς ἄωτον.

Ε. ϛ'. Κ. ιγ'.

ἀλλ' ἐν ἕκτα, πάντα λόγον θέμενος
σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοι-
νᾶθ'. οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλ-
θον Πελία μέγαρον· ἐσσύμενοι
δ' εἴσω κατέσταν. τῶν δ' ἀκού-
σαις, αὐτὸς ὑπαντίασεν
τυροῦς ἐρασιπλοκάμου γενεά.
πραῢν δ' Ἰάσων μαλθακᾷ
φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων·
παῖ Ποσειδᾶνος Πετραίου,

Σ. ζ'. Κ. ιδ'.

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον,
τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν ὅμως.
ἀλλ' ἐμὲ χρὴ καὶ σέ, θεμισσαμένους
ὀργὰς, ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ἐρέω·

μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλ-
μωνεῖ· τρίταισιν δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέν-
τες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ' ἀφί-
σταντ', εἴ τις ἔχθρα πέλει
ὁμογόνοις, αἰδῶ καλύψαι.

A. ζ'. K. ιδ'.

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν
οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων
τιμὰν δάσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίη-
μ' ἀγρούς τε πάντας, τοὺς ἀπούρας
ἁμετέρων τοκέων
νέμεαι, πλοῦτον πιαίνων.
κοὔ με πονεῖ τεὸν οἶ-
κον ταῦτα πορσύνοντ' ἄγαν.
ἀλλά, καὶ σκᾶπτον μόναρχον,
καὶ θρόνον, ᾧ ποτε Κρηθείδας
ἐγκαθίζων ἱππόταις
εὔθυνε λαοῖς δίκας,
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

E. ζ'. K. ιγ'.

λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ
αὐτῶν ἀναστήῃ κακόν.
ὣς ἄρ' ἔειπεν. ἀκᾶ
δ' ἀνταγόρευσεν καὶ Πελίας· ἔσομαι
τοῖος. ἀλλ' ἤδη με γηραι-
ὸν μέρος ἀλικίας ἀμφιπολεῖ·
σὸν δ' ἄνθος ἥβας ἄρτι κυ-
μαίνει· δύνασαι δ' ἀφελεῖν
μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν
ψυχὰν κομίξαι Φρίξος, ἐλ-
θόντας πρὸς Αἰήτα θαλάμους,
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,

τῷ ποτ' ἐκ πόντου σαώθη

Σ. η΄. Κ. ιδ΄.

ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν
φωνεῖ. μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ,
εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀ-
τρύνει με τεύχειν ναῒ πομπάν.
τοῦτον ἄεθλον ἑκὼν
τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄ-
μνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμι μάρτυς ἔστω
Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.
σύνθεσιν ταύταν ἐπαι-
νήσαντες οἱ μὲν κρίθεν.
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη

Α. η΄. Κ. ιδ΄.

ὤρνυεν κάρυκας ἐόντα πλόον
φαινέμεν παντᾶ. τάχα δὲ Κρονίδα-
ο Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου
Λήδας τε. δοιοὶ δ' ὑψιχαῖται
ἀνέρες, Ἐννοσίδα
γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄ-
κρας Ταινάρου· τῶν μὲν κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη
σόν τε, Περικλύμεν' εὐρυβία.
ἐξ Ἀπόλλωνος δέ, φορ-
μικτὰς, ἀοιδᾶν πατὴρ
ἔμολεν, εὐαίνητος Ὀρφεύς.

Ε. η΄. Κ. ιγ΄.

πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους
υἱοὺς ἐπ' ἄτρυτον πόνον,
τὸν μὲν Ἐχίονα, κε-
χλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέως

δ᾽ ἀμφὶ Παγγαίου θέμεθλα
ναιετάοντες ἔβαν· καὶ γὰρ ἑκὼν
θυμῷ γελανεῖ θᾶσσον ἔν-
τυνεν βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας
ἄνδρας πτεροῖσιν νῶτα πε-
φρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
σιν πόθον πρόσδαιεν Ἥρα

Σ. θ΄. Κ. ιδ΄.

ναὸς Ἀργοῦς· μή τινα λειπόμενον
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν
αἰῶνα πέσσοντ᾽, ἀλλ᾽ ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς
ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δ᾽ Ἰαωλκὸν ἐπεὶ
κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαι-
νήσαις Ἰάσων. καί ῥά οἱ
μάντις ὀρνίχεσσι καὶ κλά-
ροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν
πρόφρων. ἐπεὶ δ᾽ ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

Α. θ΄. Κ. ιδ΄.

χρυσέαν χείρεσσι λαβὼν φιάλαν
ἀρχὸς ἐν πρύμνᾳ πατὲρ Οὐρανιδᾶν
ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμων τ᾽ ἐκάλει,
νύκτας τε, καὶ πόντου κελεύθους,
ἄματά τ᾽ εὔφρονα, καὶ
φιλίαν νόστοιο μοῖραν.
ἐκ νεφέων δέ οἱ ἀντ-
άϋσε βροντᾶς αἴσιον
φθέγμα· λαμπραὶ δ᾽ ἦλθον ἀκτῖ-
νες στεροπᾶς ἀπορηγνύμεναι.

ἀμπνοὰν δ' ἥρωες ἔ-
στασαν θεοῦ σάμασι
πιθόμενοι. κάρυξε δ' αὐτοῖς
Ε. δ'. Κ. ιγ'.
ἐμβαλεῖν κώπαισι τερασκόπος, ἁ-
δείας ἐνίπτων ἐλπίδας.
εἰρεσία δ' ὑπεχώ-
ρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξεί-
νου στόμα πεμπόμενοι ἤλυθον. ἔν-
θ' ἁγνὸν Ποσειδάωνος ἕσ-
σαντ' εἰναλίου τέμενος·
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα
ταύρων ὑπᾶρχεν· καὶ νεό-
κτιστον λίθων βωμοῖο θέναρ.
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι,
δεσπόταν λίσσοντο ναῶν,
Σ. ί. Κ. ιδ'.
συνδρόμων κινηθμὸν ἀμαιμάκετον
ἐκφυγεῖν πετρᾶν. δίδυμοι γὰρ ἔσαν
ζωαί, κυλινδέσκοντό τε κραιπνότεραι
ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλ-
λ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄ-
γαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἤλυθον, ἔνθα κελαι-
νώπεσσι Κόλχοισιν βίαν
μῖξαν, Αἰήτᾳ παρ' αὐτῷ.
πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴϋγγα τε-
τρακνάμον Οὐλυμπόθεν
ἐν ἀλύτῳ ζεύξασα κύκλῳ
Α. ί. Κ. ιδ'.
μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοι-
δὰς ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·

ὄφρα Μηδείας τοκέων ἀφέλοι-
τ' αἰδῶ, ποθεινὰ δ' Ἑλλὰς αὐτὰν
ἐν φρασὶ καιομέναν
δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ' ἀέ-
θλων δείκνυεν πατρωΐων·
σὺν δ' ἐλαίῳ φαρμακώσα-
σ', ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε, χρίεσθαι. καταί-
νησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.

Ε. ί. Κ. ιγ'.

ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν
μέσσοις ἄροτρον σκίμψατο
καὶ βόας, οἳ φλόγ' ἀπὸ
ξανθᾶν γενύων πνέον καιομένοιο πυρὸς,
χαλκέαις δ' ὁπλαῖς ἀράσσε-
σκον χθόν' ἀμειβόμενοι· τοὺς ἀγαγὼν
ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρ-
θὰς δ' αὔλακας ἐντανύσαις
ἤλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυι-
αν σχίζε νῶτον γᾶς. ἔει-
πεν δ' ὧδε· τοῦτ' ἔργον βασιλεὺς,
ὅς τις ἄρχει ναὸς, ἐμοὶ τελέσαις
ἄφθιτον στρωμνὰν ἀγέσθω,

Σ. ια'. Κ. ιδ'.

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.
ὣς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον
ῥίψαις Ἰάσων εἷμα, θεῷ πίσυνος
εἴχετ' ἔργου. πῦρ δέ νιν οὐκ ἐόλει,
παμφαρμάκου ξείνας ἐφετμαῖς.
σπασσάμενος δ' ἄροτρον,
βοέους δήσαις ἀνάγκας
ἔντεσιν αὐχένας, ἐμ-
βάλλων τ' ἐριπλεύρῳ φυᾷ
κέντρον αἰανὲς, βιατὰς

ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει,
δύνασιν Αἰήτας ἀγασθείς.

Α. ιά. Κ. ιδ'.

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας, στεφάνοισί τέ μιν
ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου
θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκ-
τάνυσαν Φρίξου μάχαιραι.
ἤλπετο δ' οὐκέτι οἱ
κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος
δ' εἴχετο λαβροτάταν γενύων,
ὃς πάχει μάκει τε πεν-
τηκόντορον ναῦν κράτει,
τέλεσαν ἂν πλαγαὶ σιδάρου.—

Ε. ιά. Κ. ιγ'.

μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥ-
ρα γὰρ συνάπτει· καί τινα
οἶμον ἴσαμι βραχύν·
πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις
ποικιλόνωτον ὄφιν, Ἀρκεσίλα,
κλέψεν τε Μήδειαν σὺν αὐ-
τᾷ, τὰν Πελίαο φόνον.
ἔν τ' ὠκεανοῦ πελάγεσσι μίγεν,
πόντῳ τ' ἐρυθρῷ, Λαμνιᾶν
τ' ἔθνει γυναικῶν ἀνδροφόνων.
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντ' ἀγῶν' ἐσθᾶτος ἀμφὶς,

Σ. ιβ'. Κ. ιδ'.

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας

ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον
ἆμαρ, ἢ νύκτες. τόθι γὰρ γένος Εὐ-
φάμου φυτευθὲν λοιπὸν αἰεὶ
τέλλετο. καὶ, Λακεδαι-
μονίων μιχθέντες ἀνδρῶν
ἤθεσι τάν ποτε Καλ-
λίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον. ἔνθεν δ' ὔμμι Λατοί-
δας ἔπορεν Λιβύας πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλ-
λειν, ἄστυ χρυσοθρόνου
διανέμειν θεῖον Κυράνας

A. ιβ'. K. ιδ'.

ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.
εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψαι κεν μεγάλας δρυὸς, αἰ-
σχύνοι δέ οἱ θαητὸν εἶδος·
καὶ φθινόκαρπος ἐοῖ-
σα διδοῖ ψᾶφόν περ' αὐτᾶς,
εἴ ποτε χειμέριον
πῦρ ἐξίκηται λοίσθιον,
ἢ σὺν ὀρθαῖς κιόνεσσιν
δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπει
δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσασα χῶρον.

E. ιβ'. K. ιγ'.

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος,
παιάν τέ σοι τιμᾷ φάος.
χρὴ μαλακὰν χέρα προσ-
βάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.
ῥάδιον μὲν γὰρ πόλιν σεῖ-
σαι καὶ ἀφαυροτέροις· ἀλλ' ἐπὶ χώ-
ρας αὖτις ἔσσαι δυσπαλὲς
δὴ γίνεται, ἐξαπίνας

ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴϋξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει,
δύνασιν Αἰήτας ἀγασθείς.

Α. ιά. Κ. ιδ'.

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας, στεφάνοισί τέ μιν
ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου
θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκ-
τάνυσαν Φρίξου μάχαιραι.
ἤλπετο δ' οὐκέτι οἱ
κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος
δ' εἴχετο λαβροτάταν γενύων,
ὃς πάχει μάκει τε πεν-
τηκόντορον ναῦν κράτει,
τέλεσαν ἂν πλαγαὶ σιδάρου.—

Ε. ιά. Κ. ιγ'.

μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥ-
ρα γὰρ συνάπτει· καί τινα
οἶμον ἴσαμι βραχύν·
πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις
ποικιλόνωτον ὄφιν, Ἀρκεσίλα,
κλέψεν τε Μήδειαν σὺν αὐ-
τᾷ, τὰν Πελίαο φόνον.
ἔν τ' ὠκεανοῦ πελάγεσσι μίγεν,
πόντῳ τ' ἐρυθρῷ, Λαμνιᾶν
τ' ἔθνει γυναικῶν ἀνδροφόνων.
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντ' ἀγῶν' ἐσθᾶτος ἀμφίς,

Σ. ιβ'. Κ. ιδ'.

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας

ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον
ἆμαρ, ἢ νύκτες. τόθι γὰρ γένος Εὐ-
φάμου φυτευθὲν λοιπὸν αἰεὶ
τέλλετο. καὶ, Λακεδαι-
μονίων μιχθέντες ἀνδρῶν
ἤθεσι τάν ποτε Καλ-
λίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον. ἔνθεν δ' ὔμμι Λατοΐ-
δας ἔπορεν Λιβύας πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλ-
λειν, ἄστυ χρυσοθρόνου
διανέμειν θεῖον Κυράνας

Α. ιβ'. Κ. ιδ'.

ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.
εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψαι κεν μεγάλας δρυὸς, αἰ-
σχύνοι δέ οἱ θαητὸν εἶδος·
καὶ φθινόκαρπος ἐοῖ-
σα διδοῖ ψᾶφόν περ' αὐτᾶς,
εἴ ποτε χειμέριον
πῦρ ἐξίκηται λοίσθιον,
ἢ σὺν ὀρθαῖς κιόνεσσιν
δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπει
δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσασα χῶρον.

Ε. ιβ'. Κ. ιγ'.

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος,
παιάν τέ σοι τιμᾷ φάος.
χρὴ μαλακὰν χέρα προσ-
βάλλοντα τρῶμαν ἕλκεος ἀμφιπολεῖν.
ῥᾴδιον μὲν γὰρ πόλιν σεῖ-
σαι καὶ ἀφαυροτέροις· ἀλλ' ἐπὶ χώ-
ρας αὖτις ἕσσαι δυσπαλὲς
δὴ γίνεται, ἐξαπίνας

εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερ-
νατὴρ γένηται. τὶν δὲ τού-
των ἐξυφαίνονται χάριτες.
Τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν.

Σ. ιγ΄. Κ. ιδ΄.

τῶν δ᾽ Ὁμήρου καὶ τόδε συνθέμενος
ῥῆμα πόρσυν᾽· ἄγγελον ἐσλὸν ἔφα
τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.
αὔξεται καὶ Μοῖσα δι᾽ ἀγγελίας
ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα
καὶ τὸ κλεεννότατον
μέγαρον Βάττου δικαίαν
δαμοφίλου πραπίδων.
κεῖνος γὰρ ἐν παισὶν νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρ-
σαις ἑκατονταετεῖ βιοτᾷ.
ὀρφανίζει μὲν κακὰν
γλῶσσαν φαεννᾶς ὀπός.
ἔμαθε δ᾽ ὑβρίζοντα μισεῖν,

Α. ιγ΄. Κ. ιδ΄.

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ
καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν. θεράπων δέ οἱ, οὐ
δράστας, ὀπαδεῖ. Φαντὶ δ᾽ ἔμμεν
τοῦτ᾽ ἀνιαρότατον,
καλὰ γινώσκοντ᾽ ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα. καὶ
μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴ-
ας ἄπο γᾶς ἄπο τε κτεάνων.
λῦσε δὲ Ζεὺς ἄφθιτος
Τιτᾶνας. ἐν δὲ χρόνῳ
μεταβολαὶ, λήξαντος οὔρου,

Ε. ιγ'. Κ. ιγ'.

ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν
νοῦσον διαντλήσαις ποτὲ
οἶκον ἰδεῖν, ἐπ' Ἀπόλ-
λωνός τε κράνᾳ συμποσίας ἐφέπων
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν
πολλάκις, ἔν τε σοφοῖς δαιδαλέαν
φόρμιγγα βαστάζων πολί-
ταις ἁσυχίᾳ θιγέμεν,
μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς
δ' αὐτὸς πρὸς ἀστῶν. καί κε μυ-
θήσαιθ' ὁποίαν, Ἀρκεσίλᾳ,
εὗρε παγὰν ἀμβροσίων ἐπέων,
πρόσφατον, Θήβᾳ ξενωθείς.

ΕΙΔΟΣ ϛ'.

## ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ.

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. θ.

ἈΚΟΥΣΑΤ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν,
ὀμφαλὸν ἐριβρόμου χθονὸς
ἐς ναὸν προσοιχόμενοι, Πυθιόνικος
ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

Α. α'. Κ. θ'.

τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθὼν
ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος,
οὔτ' ἄνεμοι ἐς μυχοὺς ἁλὸς
ἄξοισι, παμφόρῳ χεράδι τυπτόμενοι. φά-
ει δὲ πρόσωπον ἐν καθαρῷ,

πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.

Σ. β'. Κ. θ'.

σύ τοι σχέθων νιν ἐπιδέξια χειρὸς ὀρθὰν
ἄγεις ἐφημοσύναν, τά ποτ' ἐν οὔρεσι
φαντὶ μεγαλοσθενεῖ Φιλύ-
ρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παρ-
αινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πετρωμένον.

Α. β'. Κ. θ'.

ἐγένετο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων, ὃς ὑπερέφθιτο
πατρὸς, ἐναρίμβροτον ἀναμεί-
νας στράταρχον Αἰθιόπων Μέμνονα. Νεστό-
ρειον γὰρ ἵππος ἅρμ' ἐπέδα,
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπε
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν βόασε παῖδα ὄν·

Σ. γ'. Κ. θ'.

χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν αὐτοῦ
μένων δ' ὁ θεῖος ἀνὴρ πρίατο μὲν θανά-
τοιο κομιδὰν πατρός· ἐδό-
κησέν τε τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν,
ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

Α. γ'. Κ. θ'.

πάτρωί τ' ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν·

νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον εὖθ' ὑπέρ-
οπλον ἥβαν δρέπων, σοφί-
αν δ' ἐν μυχοῖσι Πιερίδων, τίν τ', Ἐλέλιχθον,
ὀργαῖς ὃς εὗρες ἵππιον εἴσ-
οδον ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

# ΝΕΜΕΑ.

## ΕΙΔΟΣ Α΄.

## ΧΡΟΜΙΩΙ ΑΙΤΝΑΙΩΙ.

### ΑΡΜΑΤΙ.

Σ. α΄. Κ. ί.

ἌΜΠΝΕΥΜΑ σεμνὸν Ἀλφεοῦ,
κλεινᾶν Συρακοσσᾶν θάλος, Ὀρτυγία,
δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα· σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίου χάριν.
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα
θ', ἔργμασιν νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.

Α. α΄. Κ. ί.

ἀρχαὶ δὲ βέβληνται θεῶν
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον. μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ,
τὰν Ὀλύμπου δεσπότας

Ζεὺς ἔδωκεν Φερσεφόνᾳ· κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς
Ε. α΄. Κ. η΄.
Σικελίαν πίειραν ὀρθώ-
σειν κορυφαῖς πολίων ἀφνεαῖς·
ὤπασε δὲ Κρονίων
πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
χρυσέοις μιχθέντα. πολλῶν ἐπέβαν
καιρὸν, οὐ ψεύδει βαλών.
Σ. β΄. Κ. ι΄.
ἔσταν δ' ἐπ' αὐλείαις θύραις
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί. λέλογχε δὲ μεμφομένοις ἐσ-
λοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι.
χρὴ δ' ἐν εὐθείαις ὁδοῖς
στείχοντα μάρνασθαι φυᾷ.
Α. β΄. Κ. ι΄.
πράσσει γὰρ ἔργῳ μὲν σθένος,
βουλαῖσι δὲ φρὴν, ἐσσόμενον προϊδεῖν,
συγγενὲς οἷς ἕπεται.
Ἁγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
τον κατακρύψαις ἔχειν·
ἀλλ' ἐόντων, εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι, φίλοις ἐξαρκέων.
κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες
Ε. β΄. Κ. η΄.
πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡ-

ρακλέος ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν
μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον·
ὡς ἄρα σπλάγχνων ὕπο ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ
σὺν κασιγνήτῳ μόλεν,

Σ. γ'. Κ. ι'.

ὥς τ' οὐ λαθὼν χρυσόθρονον
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα.
ἀλλὰ θεῶν βασίλεα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τὼ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες. ὁ δ' ὀρ-
θὸν μὲν ἄντεινεν κάρα,
πειρᾶτο δὲ πρῶτον μάχας,

Α. γ'. Κ. ι'.

δισσαῖσι δοιοὺς αὐχένων
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον βέλος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμή-
νας ἀρήγοισαι λέχει.
καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρού-
σαισ' ἀπὸ στρωμνᾶς, ὅμως
ἄμυνεν ὕβριν κνωδάλων.

Ε. γ'. Κ. η'.

ταχὺ δὲ Καδμείων ἀγοὶ χαλ-
κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.
ἐν χερὶ δ' Ἀμφιτρύων
κολεοῦ γυμνὸν τινάσσων φάσγανον
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς.
τὸ γὰρ οἰκεῖον πιέζει

πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία
κᾶδος ἀμφ' ἀλλότριον.

Σ. δ'. Κ. ι'.

ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ. παλίγγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψί-
στου προφάταν ἔξοχον,
ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
φράζε καὶ παντὶ στρατῷ,
ποίαις ὁμιλήσει τύχαις,

Α. δ'. Κ. ι'.

ὅσσους μὲν ἐν χέρσῳ κτανὼν,
ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας,
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα, τὸν ἐχθρότατον
φᾶσέ νιν δώσειν μόρον.
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
γρας Γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου φαιδίμαν
γαίᾳ πεφύρσεσθαι κόμαν

Ε. δ'. Κ. η'.

ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρά-
νᾳ τὸν ἅπαντα χρόνον σχὲν ἀεὶ
ἀσυχίαν, καμάτων
μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον
ὀλβίοις ἐν δώμασι, δεξάμενον
θαλερὰν Ἥβαν ἄκοιτιν,
καὶ, γάμον δαίσαντα, πὰρ Δὶ Κρονίδᾳ
σεμνὸν αἰνήσειν δόμον.

# ARISTOPHANES.

FLOR. CCCCXXXIV. ANN. ANTE CHRISTUM.

ACHARNENSES. v. 405.
RANÆ. v. 753.
THESMOPHORIAZUSÆ. v. 277.
——————————— v. 947.
PLUTUS. v. 1.
PAX. v. 294.
NUBES. v. 1.
——— v. 264.
LYSISTRATA. v. 1225.
EQUITES. v. 498.
AVES. v. 1262.
VESPÆ. v. 826.
ECCLESIAZUSÆ. v. 478.

# ARISTOPHANES.

## ACHARNENSES.

### V. 405.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ, ΗΜΙΧΟΡΟΣ, ΛΑΜΑΧΟΣ.

ΕΥ. Οἶδ' ἄνδρα, Μυσὸν Τήλεφον. ΔΙ. ναί· Τήλεφον.
τούτου δὸς, ἀντιβολῶ σὲ, μοι τὰ σπάργανα.
ΕΥ. ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς. ΚΗΦ. ἰδοὺ ταυτὶ λαβέ.
ΔΙ. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδὶ,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή,
τοὺς μὲν θεατὰς εἰδέναι μ', ὃς εἴμ' ἐγὼ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
ΕΥ. δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
ΔΙ. εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ.
εὖ γ'· οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
ΕΥ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
ΔΙ. ὦ θυμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος, προσαιτῶν, λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.

# ARISTOPHANES.

## ACHARNENSES.

### V. 405.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ, ΗΜΙΧΟΡΟΣ, ΛΑΜΑΧΟΣ.

ΕΥ. Οἶδ' ἄνδρα, Μυσὸν Τήλεφον. ΔΙ. ναί· Τήλεφον.
τούτου δός, ἀντιβολῶ σε, μοι τὰ σπάργανα.
ΕΥ. ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς. ΚΗΦ. ἰδοὺ ταυτὶ λαβέ.
ΔΙ. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῆ,
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδὶ,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή,
τοὺς μὲν θεατὰς εἰδέναι μ', ὃς εἴμ' ἐγὼ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
ΕΥ. δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
ΔΙ. εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ.
εὖ γ'· οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
ΕΥ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
ΔΙ. ὦ θυμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος, προσαιτῶν, λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.

ΕΥ. τί δ', ὦ τάλας σε τοῦδ' ἔχει πλέκους χρέος;
ΔΙ. χρέος μὲν οὐδὲν, βούλομαι δ' ὅμως λαβεῖν.
ΕΥ. λυπηρὸς ἴσθ' ὤν, κἀποχώρησον δόμων.
ΔΙ. φεῦ·
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.
ΕΥ. ἄπελθέ νῦν μοι. ΔΙ. μή, ἀλλά μοι δὸς ἓν μόνον
κοτυλίσκιον, τὸ χεῖλος ἀποκεκρουσμένον.
ΕΥ. φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.
ΔΙ. οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ' ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον
δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.
ΕΥ. ἄνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών. ΔΙ. ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνὸς, οὗ μὴ τυχὼν
ἀπόλωλ'. ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
ταυτὶ λαβὼν ἄπειμι, κοὐ πρόσειμ' ἔτι.
εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
ΕΥ. ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
ΔΙ. ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι. καὶ γάρ εἰμ' ἄγαν
ὀχληρὸς, οὐ δοκῶν με κοιράνους στυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ἐπελαθόμην
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον, ὦ γλυκύτατον καὶ φίλτατον,
κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι
πλὴν ἓν μόνον, τουτὶ μόνον, τουτὶ μόνον.
σκάνδικά μοι δὸς, μητρόθεν δεδεγμένος.
ΕΥ. ἁνὴρ ὑβρίζει· κλεῖε πηκτὰ δωμάτων.
ΔΙ. ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα.
ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
ἕστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
ἐπῄνεσ'· ἄγε νῦν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες, εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.
τόλμησον, ἴθι, χώρησον, ἄγαμαι καρδίας.

ΧΟ. τί δράσεις; τί φήσεις; ἀλλ' ἴσθι νῦν
ἀναίσχυντος ὢν, σιδηροῦς τ' ἀνήρ·
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.

ΗΜΙ. ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν,
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.

ΔΙ. Μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν·
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
ἐγὼ δὲ λέξω δεινὰ μὲν, δίκαια δέ.
οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων, ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν, οὑπὶ Ληναίῳ τ' ἀγὼν,
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν, οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι,
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
καὐτοῖς ὁ Ποσειδῶν, οὑπὶ Ταινάρῳ θεὸς,
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτὰρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ, ἄνδρες, οὐχὶ τὴν πόλιν λέγω·
μέμνησθε τοῦθ' ὅτι οὐχὶ τὴν πόλιν λέγω·
ἀλλ' ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
ἄτιμα καὶ παράσημα καὶ παράξενα,
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν, ἢ λαγῴδιον,
ἢ χοιρίδιον, ἢ σκόροδον, ἢ χόνδρους ἅλας,
ταῦτ' ἦν Μεγαρικὰ, κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια·
πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγάραδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι

ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης Οὐλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ, μήτ' ἐν ἀγορᾷ,
μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο, τὸ ψήφισμ' ὅπως
μεταστραφείη, τὸ διὰ τὰς λαικαστρίας·
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις, οὐ χρῆν. ἀλλὰ τί ἐχρῆν, εἴπατε.
φέρ', εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,
καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ·
καὶ κάρτα μέντἂν εὐθέως καθείλκετε
τριακοσίας ναῦς, ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων,
στοᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαιῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων,
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν, κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.

ΗΜΙ. ἄληθες ὠπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν;
καὶ συκοφάντης, εἴ τις ἦν, ὠνείδισας;

ΗΜΙ. νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ', ἅπερ λέγει,
δίκαια πάντα, κοὐδὲν αὐτῶν ψεύδεται.

ΗΜΙ. εἶτ', εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;

ἀλλ' οὐδὲ χαίρων ταῦτα τολμήσει λέγειν.
ΗΜΙ. οὗτος σὺ ποῖ θεῖς; οὐ μενεῖς; ὡς, εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
ΗΜΙ. ἰὼ Λάμαχ', ὦ βλέπων ἀστραπὰς,
βοήθησον, ὦ γοργολόφα, φανείς·
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα.
εἴτε τις ἔστι ταξίαρχός τις, ἢ
τειχομάχας ἀνὴρ, βοηθησάτω
τις ἀνύσας. ἐγὼ γὰρ ἔχομαι μέσος.
ΛΑ. πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;
ΗΜΙ. ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων.
ΗΜΙ. ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακοῤῥοθεῖ;
ΛΑ. οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
ΔΙ. ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.
ΛΑ. τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς; ΔΙ. οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων ἰλιγγιῶ.

## RANÆ.

### V. 753.

ΞΑΝΘΙΑΣ, ΑΙΑΚΟΣ, ΧΟΡΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ.

ΞΑΝ. Ὦ ΦΟΙΒ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιὰν,
καὶ δὸς κύσαι, καὐτὸς κύσον, καί μοι φράσον,
τίς οὗτος οὔνδον ἐστι θόρυβος χὴ βοὴ
χὠ λοιδορησμός; ΑΙΑ. Αἰσχύλου κεὐριπίδου.
ΞΑΝ. ἆ ΑΙΑ. πρᾶγμα, πρᾶγμα μέγα κεκίνηται, μέγα,
ἐν τοῖς νεκροῖσι, καὶ στάσις πολλὴ πάνυ.
ΞΑΝ. ἐκ τοῦ; ΑΙΑ. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος
ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαὶ,

τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ ξυντέχνων,
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν,
θρόνον τε τοῦ Πλούτωνος ἑξῆς, ΞΑΝ. μανθάνω.
ΑΙΑ. ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὴ παραχωρεῖν ἔδει.
ΞΑΝ. τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
ΑΙΑ. ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην. ΞΑΝ. νυνὶ δὲ τίς;
ΑΙΑ. ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις καὶ τοῖς βαλαντιητόμοις
καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
ὅπερ ἔστ' ἐν Ἅιδου πλῆθος· οἱ δ' ἀκροώμενοι
τῶν ἀντιλογιῶν καὶ λυγισμῶν καὶ στροφῶν
ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον.
κἄπειτ' ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
ἵν' Αἰσχύλος καθῆστο. ΞΑΝ. κοὐκ ἐβάλλετο;
ΑΙΑ. μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.
ΞΑΝ. ὁ τῶν πανούργων; ΑΙΑ. νὴ Δί', οὐράνιόν γ' ὅσον.
ΞΑΝ. μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;
ΑΙΑ. ὀλίγον τὸ χρηστόν ἐστιν, ὥσπερ ἐνθάδε.
ΞΑΝ. τί δῆθ' ὁ Πλούτων δρᾷν παρασκευάζεται;
ΑΙΑ. ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν
κἄλεγχον αὐτῶν τῆς τέχνης. ΞΑΝ. κἄπειτα πῶς;
οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
ΑΙΑ. μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου·
νυνὶ δ' ἔμελλεν, ὡς ἔφη Κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ,
ἕξειν κατὰ χώραν, εἰ δὲ μή, περὶ τῆς τέχνης
διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.
ΞΑΝ. τί χρῆμ'; ἄρ' ἔσται; ΑΙΑ. νὴ Δί', ὀλίγον ὕστερον.
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.
ΞΑΝ. τί δέ; μειαγωγήσουσι τὴν τραγῳδίαν;

ΑΙΑ. καὶ κανόνας ἐξοίσουσι, καὶ πήχεις ἐπῶν,
καὶ πλαίσια, ξύμπηκτα πλινθεύσουσί γε
καὶ διαμέτρους καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
κατ' ἔπος βασανιεῖν φησὶ τὰς τραγῳδίας.
ΞΑΝ. ἦπου βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.
ΑΙΑ. ἔβλεψε γοῦν ταυρηδὸν ἐγκύψας κάτω.
ΞΑΝ. κρινεῖ δὲ δὴ τίς ταῦτα; ΑΙΑ. τοῦτ' ἦν δύσκολον·
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν εὑρισκέτην.
οὔτε γὰρ Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος.
ΞΑΝ. πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
ΑΙΑ. λῆρόν τε τἄλλ' ἡγεῖτο τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν. εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν· ὡς ὅταν γ' οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.
ΧΟ. ἦπου δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξύλαλόν περ ἴδῃ θήγοντος ὀδόντας
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.
ἔσται δ' ἱππολόφων τε λόγων κορυθαίολα νείκη,
σχινδαλαμῶν τε παραξόνια; σμιλεύματά τ' ἔργων,
φωτὸς ἀμυνομένου φρενοτέκτονος ἀνδρὸς
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην,
δεινὸν ἐπισκύνιον ξυνάγων βρυχώμενος ἥσει
ῥήματα γομφοπαγῆ, πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι.
ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια λίσπη
γλῶσσ', ἀνελισσομένη φθονεροὺς κινοῦσα χαλινούς,
ῥήματα δαιομένη καταλεπτολογήσει
πλευμόνων πολὺν πόνον ——
ΕΥ. Οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει·
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.
ΔΙΟ. Αἰσχύλε, τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου;
ΕΥ. ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.

ΔΙΟ. ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.
ΕΥ. ἐγᾦδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριωπὸν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον, ἀκρατὲς, ἀπύλωτον στόμα,
ἀπεριλάλητον, κομποφακελοῤῥήμονα.
ΑΙ. ἄληθες; ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυῤῥαπτάδη;
ἀλλ' οὔ τι χαίρων αὔτ' ἐρεῖς. ΔΙΟ. παῦ' Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
ΑΙ. οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.
ΔΙΟ. ἄρν', ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
ΑΙ. ὦ Κρητικὰς μὲν ξυλλέγων μονῳδίας,
γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην.
ΔΙΟ. ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν δ', ὦ πόνηρ' Εὐριπίδη,
ἄπαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θένων ὑπ' ὀργῆς ἐκχέῃ τὸν Τήλεφον.
σὺ δὲ μὴ πρὸς ὀργὴν, Αἰσχύλ', ἀλλὰ πραόνως
ἔλεγχ', ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
ΕΥ. ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν, δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ νὴ Δία τὸν Πηλέα γε, καὶ τὸν Αἴολον,
καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.
ΔΙΟ. σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ', Αἰσχύλε.
ΑΙ. ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε·
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἁγὼν νῷν. ΔΙΟ. τί δαί;
ΑΙ. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι·
τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
ὅμως δ', ἐπειδὴ σοὶ δοκεῖ, δρᾶν ταῦτα χρή.

ΔΙΟ. ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·
ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε·
ΧΟ. ὦ Διὸς ἐννέα παρθένοι ἁγναὶ
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖς τε παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι
ῥεύματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας
ὅδε μέγας χωρεῖ πρὸς ἔργον ἤδη.
ΔΙΟ. εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.
ΑΙ. Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.
ΔΙΟ. ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. ΕΥ. καλῶς·
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.
ΔΙΟ. ἴδιοί τινές σοι, κόμμα καινόν; ΕΥ. καὶ μάλα.
ΔΙΟ. ἴθι δὴ προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
ΕΥ. αἰθὴρ, ἐμὸν βόσκημα, καὶ γλώττης στρόφιγξ,
καὶ ξύνεσι, καὶ μυκτῆρες ὀσφραντήριοι,
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.
ΧΟ. καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι
τινὰ λόγων ἐμμέλειαν.
ἔπιτε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾷν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν
καὶ κατερρινημένον,
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν ἐμπεσόντα

συσκεδᾷν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.
ΔΙΟ. ἀλλ' ὡς τάχιστα χρὴ λέγειν· οὕτω δ', ὅπως ἐρεῖτον
ἀστεῖα καὶ μήτ' εἰκόνας μήθ' οἷ' ἂν ἄλλος εἴποι.
ΕΥ. καὶ μὴν ἐμαυτὸν μέν γε τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ' ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἵοις τε τοὺς θεατὰς
ἐξηπάτα, μωροὺς λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ ἕνα γέ τινα καθῖσεν ἐγκαλύψας,
Ἀχιλλέα τιν', ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
ΔΙΟ. μὰ τὸν Δί', οὐ δῆθ'. ΕΥ. ὁ δὲ χορός γ' ἤρειδεν ὁρμα-
θοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων.
ΔΙΟ. ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον ἢ νῦν οἱ λαλοῦντες. ΕΥ. ἠλίθιος ἄρ' ἦσθα,
σάφ' ἴσθι. ΔΙΟ. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ'
ὁ δεῖνα;
ΕΥ. ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν καθοῖτο,
ὁπόθ' ἡ Νιόβη τι φθέγξεται· τὸ δρᾶμα δ' ἂν διῄει.
ΔΙΟ. ὢ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινᾷ καὶ δυσφορεῖς; ΕΥ. ὅτι αὐτὸν ἐξελέγχω.
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δείν' ἄττα μορμορωπά,
ἄγνωτα τοῖς θεωμένοις. ΑΙ. οἴμοι τάλας. ΔΙΟ. σιώπα.
ΕΥ. σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἕν. ΔΙΟ. μὴ πρῖε τοὺς ὀδόντας.
ΕΥ. ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ 'π' ἀσπίδων ἐπόντας
γρυπαιέτους χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οὐ ῥᾴδι' ἦν. ΔΙΟ. νὴ τοὺς θεούς, ἐγὼ γ' οὖν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις.
ΑΙ. σημεῖον ἐν ταῖς ναυσὶν, ὦ 'μαθέστατ', ἐνεγέγραπτο.
ΔΙΟ. ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.
ΕΥ. εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;

AI. σὺ δ', ὦ θεοῖσιν ἐχθρὲ, ποῖ' ἄττ' ἐστὶν ἄττ' ἐποίεις;
ET. οὐχ ἱππαλεκτρυόνας μὰ Δί' οὐδὲ τραγελάφους, ἅπερ σὺ,
ἂν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν.
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τοπρῶτον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχνανα μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς, 191
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς·
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ', οὐδ' ἐμπεσὼν ἔφυρον,
ἀλλ' οὐξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ' ἂν εὐθὺς
τοῦ δράματος. ΔΙΟ. κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ τὸ σαυτοῦ.
ET. ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ' ἂν ἀργὸν,
ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι, χὡ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν. AI. εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα; ET. μὰ τὸν Ἀπόλλω· 200
δημοκρατικὸν γὰρ αὔτ' ἔδρων. ΔΙΟ. τοῦτο μὲν ἔασον ὦ τᾶν·
οὔ σοι γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.
ET. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα. AI. φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ' ὤφελες μέσος διαρραγῆναι.
ET. λεπτῶν τε κανόνων εἰσβολὰς, ἐπῶν τε γωνιασμοὺς,
νοεῖν, ὁρᾷν, ξυνιέναι, στρέφειν, ἐρᾷν, τεχνάζειν,
κακυποτοπεῖσθαι, περινοεῖν ἅπαντα. AI. φημὶ κἀγώ.
ET. οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνεσμεν,
ἐξ ὧν γ' ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι 209
ἤλεγχον ἄν μου τὴν τέχνην. ἀλλ' οὐκ ἐκομπολάκουν,
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτοὺς,
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
γνώσει τε τοὺς τούτου τε κἀμοῦ γ' ἑκατέρου μαθητάς.
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ' ὁ Μάνης,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται·

οὑμοὶ δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.
ΔΙΟ. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα.
ΕΥ. τοιαῦτα μέντοὐγὼ φρονεῖν
τούτοισιν εἰσηγησάμην,
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ
καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
ἅπαντα, καὶ διειδέναι
τά τ' ἄλλα, καὶ τὰς οἰκίας
οἰκεῖν ἄμεινον ἢ προτοῦ,
κἀνασκοπεῖν "πῶς τοῦτ' ἔχει;
"ποῦ μοι τόδι; τίς τοῦτ' ἔλαβε;"
ΔΙΟ. νὴ τοὺς θεούς, νῦν γοῦν Ἀθη-
ναίων ἅπας τις εἰσιὼν
κέκραγε πρὸς τοὺς οἰκέτας
ζητεῖ τε "ποῦ 'στιν ἡ χύτρα;
"τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
"τῆς μαινίδος; τὸ τρύβλιον
"τὸ περυσινὸν τέθνηκέ μοι·
"ποῦ τὸ σκόροδον τὸ χθισινόν;
"τίς τῆς ἐλᾶς παρέτραγεν;"
ΧΟ. τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλ-
λεῦ· σὺ δὲ δὴ τί, φέριστε δή, πρὸς
ταῦτα λέξεις; μόνον ὅπως
μή σ' ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαιῶν·
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως ὦ γεννάδα
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἱστίοις,
εἶτα μᾶλλον μᾶλλον ἄξεις,
καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
πνεῦμα λεῖον
καὶ καθεστηκὸς λάβῃς.
ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ
καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν ἀφίει.

ΑΙ. θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν᾽ ἀγανακτεῖ,
εἰ πρὸς τοῦτον δεῖ μ᾽ ἀντιλέγειν· ἵνα μὴ φάσκῃ δ᾽ ἀπορεῖν με,
ἀπόκριναί μοι, τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;

ΕΥ. δεξιότητος καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν. ΑΙ. τοῦτ᾽ οὖν εἰ μὴ πεποίηκας,
ἀλλ᾽ ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι; ΔΙΟ. τεθνάναι· μὴ τοῦτον ἐρώτα.

ΑΙ. σκέψαι τοίνυν οἵους αὐτοὺς παρ᾽ ἐμοῦ παρεδέξατο πρῶτον,
εἰ γενναίους καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας
μηδ᾽ ἀγοραίους, μηδὲ κοβάλους, ὥσπερ νῦν, μηδὲ πανούργους·
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας, καὶ λευκολόφους τρυφαλείας,
καὶ πήληκας, καὶ κνημῖδας, καὶ θυμοὺς ἑπταβοείους.

ΔΙΟ. καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ᾽ ἐπιτρίψει.

ΕΥ. καὶ τί σὺ δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;

ΔΙΟ. Αἰσχύλε, λέξον, μηδ᾽ αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.

ΑΙ. δρᾶμα ποιήσας Ἄρεως μεστόν. ΔΙΟ. ποῖον; ΑΙ. τοὺς ἕπτ᾽ ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.

ΔΙΟ. τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πεποίηκας
ἀνδρειοτέρους εἰς τὸν πόλεμον· καὶ τούτου γ᾽ οὕνεκα τύπτου.

ΑΙ. ἀλλ᾽ ὑμῖν αὔτ᾽ ἐξῆν ἀσκεῖν· ἀλλ᾽ οὐκ ἐπὶ τοῦτ᾽ ἐτράπεσθε.
εἶτα διδάξας Πέρσας μετὰ τοῦτ᾽ ἐπιθυμεῖν ἐξεδίδαξα
νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.

ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς,
ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι·
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς· Ἡσίοδος δὲ
γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν, πλὴν τοῦθ' ὅτι χρήστ' ἐδίδαξεν,
τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν; ΔΙΟ. καὶ μὴν οὐ Παντακλέα γε
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφον ἤμελλ' ἐπιδήσειν.
ΑΙ. ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λάμαχος ἥρως·
ὅθεν ἡ 'μὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησεν
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην
ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.

## THESMOPHORIAZUSÆ.

### V. 277.

ΕΥΡΙΠΙΔΗΣ, ΚΗΡΥΞ, ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

ΕΥ. ἜΚΣΠΕΥΔΕ ταχέως, ὡς τὸ τῆς ἐκκλησίας
σημεῖον ἐν τῷ Θεσμοφορίῳ φαίνεται.
ἐγὼ δ' ἄπειμι. ΜΝΗ. δεῦρο νῦν, ὦ Θρᾶτθ', ἕπου.
ὦ Θρᾶττα, θέασαι, καομένων τῶν λαμπάδων
ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
ἀλλ', ὦ περικαλλῆ Θεσμοφόρω, δέξασθέ με

ἀγαθῇ τύχῃ, καὶ δεῦρο, καὶ πάλιν οἴκαδε.
ὦ Θρᾶττα, τὴν κίστην κάθελε, κᾆτ' ἔξελε
τὸ πόπανον, ὅπως λαβοῦσα θύσω ταῖν θεαῖν.
δέσποινα πολυτίμητε Δήμητερ φίλη,
καὶ Φερσέφαττα, πολλὰ πολλάκις μέ σοι
θύειν ἔχουσαν, εἰ δὲ μάλλα νῦν λαθεῖν.
ποῦ, ποῦ καθίζωμ' ἐν καλῷ, τῶν ῥητόρων
ἵν' ἐξακούω; σὺ δ' ἄπιθ', ὦ Θρᾶττ' ἐκποδών·
δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.

ΚΗ. Εὐφημία 'στω,
εὐφημία 'στω.
εὔχεσθε ταῖν Θεσμοφόροιν,
τῇ Δήμητρι καὶ τῇ Κόρῃ,
καὶ τῷ Πλούτῳ, καὶ τῇ Καλλιγενείᾳ,
καὶ τῇ Κουροτρόφῳ, τῇ Γῇ,
καὶ τῷ Ἑρμῇ, καὶ Χάρισιν,
ἐκκλησίαν τήνδε καὶ σύνοδον τὴν νῦν
κάλλιστα κάριστα ποιῆσαι,
πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων,
τυχηρῶς δ' ἡμῖν αὐταῖς.
καὶ τὴν δρῶσαν καὶ τὴν ἀγορεύουσαν
τὰ βέλτιστα περὶ τὸν δῆμον τῶν Ἀθηναίων
καὶ τὸν τῶν γυναικῶν,
ταύτην νικᾶν.
ταῦτ' εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά.
ἰὴ παιών, ἰὴ παιών, ἰὴ παιών· χαίρωμεν.

ΧΟ. δεχόμεσθα, καὶ θεῶν γένος
λιτόμεσθα ταῖσδ' ἐπ' εὐχαῖς
φανέντας ἐπιχαρῆναι.
Ζεῦ μεγαλώνυμε, Χρυσολύρα τε,
Δῆλον ὃς ἔχεις ἱεράν·
καὶ σὺ παγκρατὴς κόρα,
γλαυκῶπι, χρυσόλογχε,
πόλιν οἰκοῦσα περιμάχητον, ἐλθὲ δεῦρο.
καὶ πολυώνυμε, θηροφόνε παῖ,
Λατοῦς χρυσώπιδος ἔρνος·

σύ τε, πόντιε σεμνὲ Πόσειδον
ἁλιμέδον, προλιπὼν
μυχὸν ἰχθυόεντ' οἰστροδόνητον
Νηρέος· ἐνάλιοί τε κόραι,
Νύμφαι τ' ὀρείπλαγκτοι.
χρυσέα τε φόρμιγξ
ἠχήσειεν ἐπ' εὐχαῖς
ἡμετέραις· τελέως δ'
ἐκκλησιάσαιμεν Ἀθηναίων
εὐγενεῖς γυναῖκες.

ΚΗ. εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις
καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις,
καὶ ταῖσι Πυθίαισι, καὶ τοῖς Δηλίοις,
καὶ ταῖσι Δηλίαισι, τοῖς τ' ἄλλοις θεοῖς,
εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
τῷ τῶν γυναικῶν, ἢ 'πικηρυκεύεται
Εὐριπίδῃ Μήδοις τ' ἐπὶ βλάβῃ τινὶ
τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ,
ἢ τὸν τύραννον συγκατάγειν,
ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει,
κεἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς
ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται,
κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κᾠκίαν
ἀρᾶσθε, ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.

ΧΟ. ξυνευχόμεθα τέλεα μὲν
πόλει, τέλεα δὲ δήμῳ
τάδ' εὔγματα γενέσθαι·
τὰ δ' ἄρισθ' ὅσαις προσήκει
νικᾶν λεγούσαις. ὁπόσαι δ'
ἐξαπατῶσιν, παραβαίνουσί τε τοὺς
ὅρκους τοὺς νενομισμένους
κερδῶν οὕνεκ' ἐπὶ βλάβῃ
ἢ ψηφίσματα καὶ νόμον
ζητοῦσ' ἀντιμεθιστάναι,
τἀπόρρητά τε τοῖσιν ἐχ-

θροῖς τοῖς ἡμετέροις λέγουσ',
ἢ Μήδους ἐπάγουσι τῆς
χώρας οὕνεκ' ἐπὶ βλάβῃ,
ἀσεβοῦσ', ἀδικοῦσίν τε τὴν πόλιν.
'Αλλ' ὦ παγκρατὲς
Ζεῦ, ταῦτα κυρώσειας, ὥσθ'
ἡμῖν θεοὺς παραστατεῖν,
καίπερ γυναιξὶν οὔσαις.

ΚΗ. ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
τῇ τῶν γυναικῶν· Τιμόκλει' ἐπεστάτει·
Λύσιλλ' ἐγραμμάτευεν, εἶπε Σωστράτη·
ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολὴ,
καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
ὅ τι χρὴ παθεῖν ἐκεῖνον· ἀδικεῖν γὰρ δοκεῖ
ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;

ΓΥ. ἐγώ. ΚΗ. περίθου νῦν τόνδε πρῶτον πρὶν λέγειν.
σίγα, σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται γὰρ ἤδη,
ὅπερ ποοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.

ΓΥ. φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ
λέξουσ' ἀνέστην ὦ γυναῖκες· ἀλλὰ γὰρ
βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον
προπηλακιζομένας ὁρῶσ' ὑμᾶς ὑπὸ
Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας,
καὶ πολλὰ καὶ παντοῖ' ἀκουούσας κακά.
τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;
ποῦ δ' οὐχὶ διαβέβληχ', ὅπου περ ἔμβραχυ
εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί;

---

## 947.

ΧΟ. ἄγε νῦν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε ταῖσι
γυναιξὶν,
ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν, ἅπερ καὶ
Παύσων σέβεται, καὶ νηστεύει,
πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
ἐς τὰς ὥρας ξυνεπευχόμενος

τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει
κοῦφα ποσίν, ἄγ' ἐς κύκλον,
χειρὶ σύναπτε χεῖρα,
ῥυθμὸν χορείας ὕπαγε πᾶσα· βαῖνε
καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ,
πανταχῇ κυκλοῦσαν ὄμμα, χρὴ χοροῦ κατάστασιν.
ἅμα δὲ καὶ
γένος Ὀλυμπίων θεῶν
μέλπε καὶ γέραιρε φωνῇ, πᾶσα χορομανεῖ τρόπῳ.
εἰ δέ τις
προσδοκᾷ κακῶς ἐρεῖν
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας, οὐκ ὀρθῶς φρονεῖ.
ἀλλὰ χρή,
ὥσπερ ἔργον αὖ τι καινὸν,
πρῶτον εὐκύκλου χορείας εὐφυῆ στῆσαι βάσιν.
πρόβαινε ποσὶ τὸν εὐλύραν
μέλπουσα καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ' ὦ Ἑκάεργε,
ὄπαζε δὲ νίκην.
Ἥραν τε τὴν τελείαν
μέλψωμεν, ὥσπερ εἰκὸς,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ
κλῇδας γάμου φυλάττει.
Ἑρμῆν τε νόμιον ἄντομαι
καὶ Πᾶνα καὶ Νύμφας φίλας
ἐπιγελάσαι προθύμως
ταῖς ἡμετέραισι
χαρέντα χορείαις.
ἔξαιρε δὴ προθύμως
διπλῆν χάριν χορείας.
παίσωμεν ὦ γυναῖκες οἷάπερ νόμος·
νηστεύομεν δὲ πάντως.
ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδὶ,

τόρευε πᾶσαν ᾠδήν·
ἡγοῦ δέ γ' ᾠδ' αὐτὸς
σὺ, κισσοφόρε Βάκχειε
δέσποτ'· ἐγὼ δὲ κώμοις
σε φιλοχόροισι μέλψω
Εὔϊον, ὦ Διόνυσε,
Βρόμιε καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος κατ' ὄρεα Νυμφᾶν,
ἐρατοῖς ἐν ὕμνοις
Εὔϊον, Εὔϊον, εὐοῖ ἀναχορεύων.
ἀμφὶ δέ σοι κτυπεῖται
Κιθαρώνιος ἠχὼ,
μελάμφυλλά τ' ὄρη δάσκια καὶ νάπαι
πετρώδεις βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς
εὐπέταλος ἕλικι θάλλει.

## PLUTUS.

### V. 1.

### ΚΑΡΙΩΝ, ΧΡΕΜΥΛΟΣ, ΠΛΟΥΤΟΣ.

ΚΑ. ὩΣ ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾷν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν·
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
καὶ ταῦτα μὲν δὴ ταῦτα. τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ' αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·

οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινομένος τὸ παράπαν οὐδὲ γρύ.
ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς, ὅτι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα.
οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε.
ΧΡΕ. μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τι με,
ἵνα μᾶλλον ἀλγῇς. ΚΑ. λῆρος· οὐ γὰρ παύσομαι,
πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί·
εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα.
ΧΡΕ. ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε—καὶ κλεπτίστατον.
ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν. ΚΑ. οἶδά τοι.
ΧΡΕ. ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες,
καὶ συκοφάνται καὶ πονηροί. ΚΑ. πείθομαι.
ΧΡΕ. ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεὸν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
τὸν δ' υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ, μεταβαλόντα τοὺς τρόπους,
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
ΚΑ. τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
ΧΡΕ. πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιὼν,
ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
ΚΑ. καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; ΧΡΕ. τουτῳί.
ΚΑ. εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
φράζουσαν, ὦ σκαιότατέ, σοι σαφέστατα
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
ΧΡΕ. τῷ τοῦτο κρίνεις; ΚΑ. δῆλον ὁτιὴ καὶ τυφλῷ
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον,
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
ΧΡΕ. οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,

ἀλλ᾿ εἰς ἕτερόν τι μεῖζον· ἣν δ᾿ ἡμῖν φράσῃ
ὅστις ποτ᾿ ἐστὶν, οὑτοσὶ, καὶ τοῦ χάριν,
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδὶ,
πυθοίμεθ᾿ ἂν τὸν χρησμὸν ἡμῶν ὅ, τι νοεῖ.
ΚΑ. ἄγε δὴ, πρότερον σὺ σαυτὸν, ὅστις εἶ, φράσον,
ἢ τἀπὶ τούτοις δρῶ. λέγειν χρὴ ταχὺ πάνυ.
ΠΛΟΥ. ἐγὼ μὲν οἰμώζειν λέγω σοι. ΚΑ. μανθάνεις,
ὅς φησιν εἶναι; ΧΡΕ. σοὶ λέγει τοῦτ᾿, οὐκ ἐμοὶ,
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ᾿ εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον. ΠΛΟΥ. κλάειν ἔγωγέ σοι λέγω.
ΚΑ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
ΧΡΕ. οὔτοι, μὰ τὴν Δήμητρα, χαιρήσεις ἔτι·
ἢν μὴ φράσῃς γὰρ, ἀπό σ᾿ ὀλῶ κακὸν κακῶς.
ΠΛΟΥ. ὦ τἀν, ἀπαλλάχθητον ἀπ᾿ ἐμοῦ. ΧΡΕ. πώμαλα.
ΚΑ. καὶ μὴν ὃ λέγω, βέλτιστόν ἐστ᾿, ὦ δέσποτα·
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν᾿ αὐτὸν, καταλιπὼν
ἄπειμ᾿, ἵν᾿ ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
ΧΡΕ. ἀλλ᾿ αἶρε ταχέως. ΠΛΟΥ. μηδαμῶς. ΧΡΕ. οὔκουν ἐρεῖς;
ΠΛΟΥ. ἀλλ᾿ ἢν πύθησθέ μ᾿ ὅστις εἴμ᾿, εὖ οἶδ᾿ ὅτι
κακόν τί μ᾿ ἐργάσεσθον, οὐδ᾿ ἀφήσετον.
ΧΡΕ. νὴ τοὺς θεοὺς ἡμεῖς γ᾿, ἐὰν βούλῃ γε σύ.
ΠΛΟΥ. μέθεσθέ νυν πρῶτ᾿. ΧΡΕ. ἢν ἰδοὺ μεθίεμεν.
ΠΛΟΥ. ἀκούετον δή· δεῖ γὰρ ὡς ἔοικ᾿, ἐμὲ
λέγειν, ἃ κρύπτειν ἢ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος. ΧΡΕ. ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ᾿ ἐσίγας, Πλοῦτος ὤν;
ΚΑ. σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
ΧΡΕ. ὦ Φοῖβ᾿ Ἄπολλον, καὶ θεοὶ, καὶ δαίμονες,
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ; ΠΛΟΥ. ναί.
ΧΡΕ. ἐκεῖνος αὐτός; ΠΛΟΥ. αὐτότατος. ΧΡΕ. πόθεν οὖν, φράσον,
αὐχμῶν βαδίζεις; ΠΛΟΥ. ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ᾿ ἐξότουπερ ἐγένετο.

ΧΡΕ. τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες, κάτειπέ μοι.
ΠΛΟΥ. ὁ Ζεύς με ταῦτ' ἔδρασεν, ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησεν τυφλὸν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδ' ἕνα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
ΧΡΕ. καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους,
καὶ τοὺς δικαίους. ΠΛΟΥ. ὁμολογῶ σοι. ΧΡΕ. φέρε,
τί οὖν,
εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ προτοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς; ΠΛΟΥ. φήμ' ἐγώ.
ΧΡΕ. ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις; ΠΛΟΥ. πάνυ μὲν οὖν·
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακά που χρόνου.
ΧΡΕ. καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ΠΛΟΥ. ἄφετόν με νῦν· ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ΧΡΕ. μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
ΠΛΟΥ. οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι; ΧΡΕ. καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα
μὰ τὸν Δί'· οὐ γὰρ ἔστιν ἄλλος, πλὴν ἐγώ.
ΠΛΟΥ. ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δέ μου
τύχωσ' ἀληθῶς, καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡΕ. ἔχει μὲν οὕτως, εἰσὶ δ' οὐ πάντες κακοί.
ΠΛΟΥ. μὰ Δί' ἀλλ' ἁπαξάπαντες. ΚΑ. οἰμώξει μακρά.
ΧΡΕ. σὺ δ', ὡς ἂν εἰδῇς ὅσ' ἀγάθ', ἢν παρ' ἐμοὶ μένῃς
γενήσεταί σοι, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι γὰρ, οἶμαι, σὺν θεῷ δ' εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας. ΠΛΟΥ. μηδαμῶς τοῦτ' ἐργάσῃ·
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΧΡΕ. τί φῄς;
ΚΑ. ἅνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛΟΥ. ὁ Ζεὺς μὲν οὖν μ' εἴ πως τὰ τούτων μῶρ' ἔπη
πύθοιτ', ἂν ἐπιτρίψειε· ΧΡΕ. νῦν δ' οὐ τοῦτο δρᾷ,

ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛΟΥ. οὐκ οἶδ'· ἐγὼ δ' ἐκεῖνον ὀῤῥωδῶ πάνυ.
ΧΡΕ. ἄληθες; ὦ δειλότατε πάντων δαιμόνων·
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐάν γ' ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;
ΠΛΟΥ. ἆ, μὴ λέγ', ὦ πονηρὲ, ταῦτ'. ΧΡΕ. ἔχ' ἥσυχος·
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον. ΠΛΟΥ. ἐμὲ σύ; ΧΡΕ. νὴ τὸν οὐρανόν.
αὐτίκα γὰρ, ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν;
ΚΑ. διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ. ΧΡΕ. φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ'; ΚΑ. ὁδί.
ΧΡΕ. θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
ΚΑ. καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡΕ. οὐκοῦν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν. ΠΛΟΥ. ὅτι τί δή;
ΧΡΕ. ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἂν, οὐχὶ ψαιστὸν, οὐκ ἄλλ' οὐδὲ ἓν,
μὴ βουλομένου σοῦ. ΠΛΟΥ. πῶς; ΧΡΕ. ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛΟΥ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡΕ. φήμ' ἐγώ.
καὶ νὴ Δί', εἴ τί γ' ἔστι λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.

# P A X.

## V. 291.

### ΧΟΡΟΣ, ΤΡΥΓΑΙΟΣ.

ΩΣ ἥδομαι, καὶ χαίρομαι, κεὐφραίνομαι.
νῦν ἐστὶν ἡμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν

ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ' ὦ γεωργοὶ, κἄμποροι, καὶ τέκτονες,
καὶ δημιουργοὶ, καὶ μέτοικοι, καὶ ξένοι
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,
ὡς τάχιστ' ἄμας λαβόντες, καὶ μοχλοὺς, καὶ σχοινία·
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.
ΧΟ. δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν·
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτόνει·
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
ΤΡΥ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
ΧΟ. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος·
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
ΤΡΥ. εὐλαβεῖσθε νῦν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων καὶ κεκραγὼς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται, τὴν θεὸν μὴ 'ξελκύσαι.
ΧΟ. οὔτι καὶ νῦν ἔστιν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ΤΡΥ. ἰοὺ ἰού,
ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.
ΧΟ. ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω·
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
ΤΡΥ. τί τὸ κακόν; τί πάσχετ', ὦνδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.
ΧΟ. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ'· ἀλλ' ὑφ' ἡδονῆς,
οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.
ΤΡΥ. μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε, παῦ' ὀρχούμενος.
ΧΟ. ἢν ἰδοὺ, καὶ δὴ πέπαυμαι. ΤΡΥ. φῂς γε, παύει δ' οὐδέπω.

ΧΟ. ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
ΤΡΥ. τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
ΧΟ. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
ΤΡΥ. ἀλλ' ὁρᾶτ', οὔπω πέπαυσθε. ΧΟ. τουτογὶ νὴ τὸν Δία
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
ΤΡΥ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
ΧΟ. ἀλλὰ καὶ τἀριστερόν τοί μοὔστ' ἀναγκαίως ἔχον·
ἥδομαι γὰρ, καὶ γέγηθα,
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.

# NUBES.

## V. 1.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΘΕΡΑΠΩΝ, ΜΑΘΗΤΗΣ.

ΣΤΡΕ. ἸΟΥ ἰού,
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον
ἀπέραντον. οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ.
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός.
ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
Ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
ὑπὸ τῆς δαπάνης, καὶ τῆς φάτνης, καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.
οἱ γὰρ τόκοι χωροῦσιν.—ἅπτε, παῖ, λύχνον,
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τοὺς τόκους.

φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ' ἐξεκόπη πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
ΦΕΙ. Φίλων, ἀδικεῖς· ἔλαυνε τὸν σαυτοῦ δρόμον.
ΣΤΡΕ. τοῦτ' ἐστὶ τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
ΦΕΙ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;
ΣΤΡΕ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου, καὶ τροχοῖν, Ἀμυνίᾳ.
ΦΕΙ. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
ΣΤΡΕ. ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὦφληκα, χἄτεροι τόκου
ἐνεχυράσασθαί φασιν. ΦΕΙ. ἐτεὸν, ὦ πάτερ,
τί δυσκολαίνεις, καὶ στρέφει τὴν νύχθ' ὅλην;
ΣΤΡΕ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
ΦΕΙ. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
ΣΤΡΕ. σὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
φεῦ.
εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμαι 'πῆρε τὴν σὴν μητέρα.
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,
βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις.
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν, ἄγροικος ὢν, ἐξ ἄστεος,
σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ΘΕ. ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤΡΕ. οἴμοι, τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;
δεῦρ' ἔλθ', ἵνα κλάῃς. ΘΕ. διὰ τί δῆτα κλαύσομαι;
ΣΤΡΕ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων—
μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσὶ,
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος δὴ 'ντεῦθεν ἐλοιδορούμεθα.

ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον ἢ Χάριππον ἢ Καλλιππίδην·
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ᾽· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν, κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ᾽ ἐκορίζετο
"ὅταν σὺ μέγας ὢν ἅρμ᾽ ἐλαύνῃς πρὸς πόλιν,
"ὥσπερ Μεγακλέης, ξυστίδ᾽ ἔχων." ἐγὼ δ᾽ ἔφην
"ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
"ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος."
ἀλλ᾽ οὐκ ἐπίθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ᾽ ἵππερόν μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ,
μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν ἢν ἀναπείσω τουτονὶ, σωθήσομαι·
ἀλλ᾽ ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ᾽ ἂν ἥδιστ᾽ αὐτὸν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον. ΦΕΙ. τί, ὦ πάτερ;
ΣΤΡΕ. κύσον με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
ΦΕΙ. ἰδού· τί ἐστιν; ΣΤΡΕ. εἰπέ μοι, φιλεῖς ἐμέ;
ΦΕΙ. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν Ἵππιον.
ΣΤΡΕ. μή 'μοιγε τοῦτον μηδαμῶς τὸν Ἵππιον·
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ᾽ εἴπερ ἐκ τῆς καρδίας μ᾽ ὄντως φιλεῖς,
ὦ παῖ, πιθοῦ. ΦΕΙ. τί οὖν πίθωμαι δῆτά σοι;
ΣΤΡΕ. ἐκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν᾽ ἐλθὼν ἂν ἐγὼ παραινέσω.
ΦΕΙ. λέγε δὴ, τί κελεύεις; ΣΤΡΕ. καὶ τί πείσει; ΦΕΙ. πεί-
σομαι
νὴ τὸν Διόνυσον. ΣΤΡΕ. δεῦρό νυν ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο, καὶ τῳκίδιον;
ΦΕΙ. ὁρῶ. τί οὖν τοῦτ᾽ ἐστὶν ἐτεὸν, ὦ πάτερ;
ΣΤΡΕ. ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον.
ἐνταῦθ᾽ ἐνοικοῦσ᾽ ἄνδρες, οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεὺς,
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ᾽ ἄνθρακες.

οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια, κἄδικα.
ΦΕΙ. εἰσὶν δὲ τίνες; ΣΤΡΕ. οὐκ οἶδ' ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ, καλοί τε, κἀγαθοί.
ΦΕΙ. αἰβοῖ, πονηροί γ', οἶδα. τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
ΣΤΡΕ. ἢ ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον.
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
ΦΕΙ. οὐκ ἂν, μὰ τὸν Διόνυσον, εἰ δοίης γέ μοι
τοὺς φασιανοὺς οὓς τρέφει Λεωγόρας.
ΣΤΡΕ. ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοὶ,
ἐλθὼν διδάσκου. ΦΕΙ. καὶ τί σοι μαθήσομαι;
ΣΤΡΕ. εἶναι παρ' αὐτοῖς φασὶν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φασι τἀδικώτερα.
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σὲ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
ΦΕΙ. οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.
ΣΤΡΕ. οὐκ ἄρα, μὰ τὴν Δήμητρα, τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας·
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
ΦΕΙ. ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.
ΣΤΡΕ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι·
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι
αὐτὸς, βαδίζων εἰς τὸ φροντιστήριον.
πῶς οὖν γέρων ὢν, κἀπιλήσμων, καὶ βραδὺς
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι;
ἰτητέον· τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
ΜΑ. βάλλ' ἐς κόρακας· τίς ἐσθ' ὁ κόψας τὴν θύραν;

ΣΤΡΕ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑ. ἀμαθής γε, νὴ Δί', ὅστις ουτωσὶ σφόδρα
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας,
καὶ φροντίδ' ἐξήμβλωκας ἐξηυρημένην.
ΣΤΡΕ. σύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
ΜΑ. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
ΣΤΡΕ. λέγε νυν ἐμοὶ θαῤῥῶν· ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
ΜΑ. λέξω· νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας·
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν
ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους ἀφήλατο.
ΣΤΡΕ. πῶς δῆτα τοῦτ' ἐμέτρησε; ΜΑ. δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε,
κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον.
ΣΤΡΕ. ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν.

## NUBES.

### V. 264.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.

ΣΩ. ΕΥΦΗΜΕΙΝ χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ἐπακούειν.
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀὴρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
λαμπρός τ' Αἰθὴρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι,
ἄρθητε, φάνητ' ὦ δέσποιναι τῷ φροντιστῇ μετέωροι.
ΣΤΡΕ. μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

ΣΩ. ἔλθετε δῆτ' ὦ πολυτίμητοι Νεφέλαι τῷδ' εἰς ἐπίδειξιν,
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύεσθε πρόχουσιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

ΧΟ. ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερὰν φύσιν εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἔπι
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ' ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.

ΣΩ. ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
ἤσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

ΧΟ. παρθένοι ὀμβροφόροι,
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον,
οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοί τε θεῶν θυσίαι θαλίαι τε

παντοδαπαῖς ἐν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤΡΕ. πρὸς τοῦ Διὸς, ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ Σώκρατες, αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;

ΣΩ. ἥκιστ' ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς·
αἵπερ γνώμην, καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσι,
καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

ΣΤΡΕ. ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι·
ὥστ', εἴ πως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

ΣΩ. βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούσας
ἡσυχῇ αὐτάς. ΣΤΡΕ. φέρε, ποῦ; δεῖξον. ΣΩ. χωροῦσ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δασέων, αὗται πλάγιαι. ΣΤΡΕ. τί τὸ χρῆμα
ὡς οὐ καθορῶ; ΣΩ. παρὰ τὴν εἴσοδον. ΣΤΡΕ. ἤδη νυνὶ μόλις οὕτως.

ΣΩ. νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις.

ΣΤΡΕ. νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουσι.

ΣΩ. ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης οὐδ' ἐνόμιζες.

ΣΤΡΕ. μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ καπνὸν εἶναι.

ΣΩ. οὐ γὰρ μὰ Δί' οἶσθ' ὁτιὴ πλείστους αὗται βόσκουσι σοφιστὰς,
θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας·
οὐδὲν δρῶντας βόσκουσ' ἀργοὺς, ὅτι ταύτας μουσοποιοῦσιν.

ΣΩ. ἔλθετε δῆτ' ὦ πολυτίμητοι Νεφέλαι τῷδ' εἰς ἐπίδειξιν,
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύεσθε πρόχουσιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.
ΧΟ. ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερὰν φύσιν εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ' ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.
ΣΩ. ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;
ΧΟ. παρθένοι ὀμβροφόροι,
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον,
οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοί τε θεῶν θυσίαι θαλίαι τε

παντοδαπαῖς ἐν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤΡΕ. πρὸς τοῦ Διὸς, ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ Σώκρατες, αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;

ΣΩ. ἥκιστ' ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς·
αἵπερ γνώμην, καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσι,
καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

ΣΤΡΕ. ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι·
ὥστ', εἴ πως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

ΣΩ. βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούσας
ἡσυχῇ αὐτάς. ΣΤΡΕ. φέρε, ποῦ; δεῖξον. ΣΩ. χωροῦσ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δασέων, αὗται πλάγιαι. ΣΤΡΕ. τί τὸ χρῆμα
ὡς οὐ καθορῶ; ΣΩ. παρὰ τὴν εἴσοδον. ΣΤΡΕ. ἤδη νυνὶ μόλις οὕτως.

ΣΩ. νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις.

ΣΤΡΕ. νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουσι.

ΣΩ. ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης οὐδ' ἐνόμιζες.

ΣΤΡΕ. μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ καπνὸν εἶναι.

ΣΩ. οὐ γὰρ μὰ Δί' οἶσθ' ὁτιὴ πλείστους αὗται βόσκουσι σοφιστὰς,
θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας·
οὐδὲν δρῶντας βόσκουσ' ἀργοὺς, ὅτι ταύτας μουσοποιοῦσιν.

ΣΤΡΕ. ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπταίγλαν δάϊον ὁρμάν,
πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρημαινούσας τε θυέλλας,
εἶτ' ἀερίας, διερὰς, γαμψοὺς οἰωνοὺς, ἀερονηχεῖς,
ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν. εἶτ' ἀντ' αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη μεγάλαν, ἀγαθᾶν, κρέατ' ὀρνίθεια κιχηλᾶν.
ΣΩ. διὰ μέντοι τάσδ' οὐχὶ δικαίως; ΣΤΡΕ. λέξον δή μοι, τί παθοῦσαι,
εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν;
οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. ΣΩ. φέρε, ποῖαι γάρ τινές εἰσιν;
ΣΤΡΕ. οὐκ οἶδα σαφῶς· εἴξασιν δ' οὖν ἐρίοισιν πεπταμένοισι,
κοὐχὶ γυναιξὶν, μὰ Δί', οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.
ΣΩ. ἀπόκριναι νῦν ἅττ' ἂν ἔρωμαι. ΣΤΡΕ. λέγε νῦν ταχέως ὅ τι βούλει.
ΣΩ. ἤδη ποτ' ἀναβλέψας εἶδες νεφέλην Κενταύρῳ ὁμοίαν
ἢ παρδάλει ἢ λύκῳ ἢ ταύρῳ; ΣΤΡΕ. νὴ Δί' ἔγωγ'· εἶτα τί τοῦτο;
ΣΩ. γίγνονται πάνθ' ὅ τι βούλονται.

# LYSISTRATA.

## V. 1225.

ΑΘΗΝΑΙΟΣ ΤΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΘΕΡΑΠΩΝ, ΑΓΟΡΑΙΟΙ ΤΙΝΕΣ, ΠΡΕΣΒΕΙΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ΠΟΛΥΧΑΡΙΔΗΣ, ΛΥΣΙΣΤΡΑΤΗ, ΧΟΡΟΣ ΑΘΗΝΑΙΩΝ, ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.

ΑΘΗ. ΟΥΠΩ τοιοῦτον συμπόσιον ὄπωπ' ἐγώ.
ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
ἡμεῖς δ' ἐν οἴνῳ ξυμπόται σοφώτατοι.
ΧΟ. ΓΕ. ὀρθῶς γ', ὁτιὴ νήφοντες οὐχ ὑγιαίνομεν.

ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
μεθύοντες ἀεὶ πανταχοῖ πρεσβεύσομεν.
νῦν μὲν γὰρ ὅταν ἔλθωμεν ἐς Λακεδαίμονα
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν,
ὥσθ', ὅ τι μὲν ἂν λέγωσιν, οὐκ ἀκούομεν,
ἃ δ' οὐ λέγουσιν, ταῦθ' ὑπονενοήκαμεν,
ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν πέρι.
νυνὶ δ' ἅπαντ' ἤρεσκεν, ὥστ' εἰ μέν γέ τις
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον,
ἐπῃνέσαμεν ἂν καὶ προσεπιωρκήσαμεν.

ΘΕ. ἀλλ' οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
ἐς ταὐτόν. οὐκ ἐρρήσετ', ὦ μαστιγίαι;

ΑΓΟ. νὴ τὸν Δί', ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.

ΠΡΕ. ὦ Πολυχαρίδα, λαβὲ τὰ φυσατήρια,
ἵν' ἐγὼ διποδιάξω γε, κἀείσω καλὸν
ἐς τὼς Ἀσαναίως τε κἠς ἡμᾶς ἅμα.

ΠΟ. λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν,
ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.

ΠΡΕ. ὅρμαον
τὼς κυρσανίως, ὦ Μναμόνα,
τὰν τεὰν μῶαν, ἅτις
οἶδεν ἀμὲ τώς τ' Ἀσαναίως,
ὄκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
πρόκροον θείκελοι
ποττὰ κᾶλα, τὼς Μήδως τ' ἐνίκων·
ἀμὲ δ' αὖ Λεωνίδας
ἆγεν ᾇπερ τὼς κάπρως
θάγοντας, οἰῶ, τὸν ὀδόντα.
πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,
πολὺς δ' ἅμα καττῶν σκελῶν ἵετο·
ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως
τᾶς ψάμμας, τοὶ Πέρσαι.
ἀγροτέρ' Ἄρταμι σηροκτόνε.
μόλε δεῦρο, παρσένε σιά,
ποττὰς σπονδάς,
ὡς συνέχῃς πολὺν ἀμὲ χρόνον·

νῦν δ' αὖ
φιλία δ' αἰὲς εὔπορος εἴη
ταῖς συνθήκαις·
καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων
παυσαίμεθ'· ὦ
δεῦρ' ἴθι, δεῦρ', ὦ
κυναγὲ παρσένε.

ΛΥ. ἄγε νῦν, ἐπειδὴ τἆλλα πεποίηται καλῶς,
ἀπάγεσθε ταύτας ὦ Λάκωνες, τάσδε τε
ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
στήτω παρ' ἄνδρα· κᾆτ' ἐπ' ἀγαθαῖς συμφοραῖς
ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα
τὸ λοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.

ΧΟ. ΑΘΗ. πρόσαγε χορὸν, ἔπαγε χάριτας,
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν,
ἐπὶ δὲ δίδυμον ἀγέχορον ἰήϊον
εὔφρον', ἐπὶ δὲ Νύσιον,
ὃς μετὰ Μαινάσι Βάκχειος ὄμμασι
δαίεται,
Δία τε πυρὶ φλεγόμενον,
ἐπί τε πότνιαν ἄλοχον ὀλβίαν,
εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι
χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
ἡσυχίας πέρι τῆς μεγαλόφρονος,
ἣν ἐποίησε θεὰ Κύπρις.
ἀλαλαὶ ἰὴ παιήων.
αἴρεσθ' ἄνω, ἰαὶ,
ὡς ἐπὶ νίκῃ, ἰαί.
εὐοῖ εὐοῖ, εὐαὶ εὐαί.
Λάκων πρόφαινε δὴ σὺ μοῦσαν
ἐπὶ νέᾳ νέαν.

ΧΟ. ΛΑ. Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα
Μῶα μόλε Λάκαινα, πρεπτὸν ἁμὶν
κλεῶα τὸν Ἀμύκλαις σιὸν
καὶ χαλκίοικον Ἀσάναν,
Τυνδαρίδας τ' ἀγασὼς,

τοὶ δὴ παρ' Εὐρώταν ψιάδδοντι.
εἶα μάλ' ἔμβη,
ὢϊα κοῦφα πάλλων,
ὡς Σπάρταν ὑμνιῶμες,
τᾷ σιῶν χοροὶ μέλοντι
καὶ ποδῶν κτύπος·
ᾇτε πῶλοι δ' αἱ κόραι
πὰρ τὸν Εὐρώταν
ἀμπάλλοντι πυκνὰ ποδοῖν
ὀγκονιῶσαι·
ταὶ δὲ κόμαι σείονθ' ἇπερ Βακχᾶν
θυρσαδδωᾶν καὶ παιδδωᾶν·
ἀγῆται δ' ἁ Λήδας παῖς
ἁγνὰ χοραγὸς εὐπρεπής.
ἀλλ' ἄγε, κόμαν
παραμπύκιδδέ τε
χερὶ, ποδοῖν τε πάδη,
ᾇ τις ἔλαφος·
κρότον δ' ἅμα ποί-
η χορωφελέταν·
καὶ τᾶν σιᾶν δ' αὖ τὰν κρατίσταν
Χαλκίοικον ὕμνει,
τὰν παμμάχον.

# EQUITES.

## V. 498.

ΧΟΡΟΣ, ΗΜΙΧΟΡΟΣ.

ΧΟ. ΜΕΜΝΗΣΟ νῦν
δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας

αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῶν πρόσχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις,
ὦ παντοίας ἤδη Μούσης
πειραθέντες καθ' ἑαυτούς.
Εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησὶν πολλοὺς αὐτῷ προσιόντας,
καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτὸν,
ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι·
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.
τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια,
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς, καὶ ψάλλων, καὶ πτερυγίζων,
καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις,
οὐκ ἐξήρκεσεν· ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη·

εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους, καὶ τοὺς ἐχθροὺς προθελύμνους,
ᾆσαι δ' οὐκ ἦν ἐν συμποσίῳ πλὴν, “Δωροῖ συκο-“πέδιλε,”
καὶ, “τέκτονες εὐπαλάμων ὕμνων·” οὕτως ἤνθησεν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκέτ' ἐνόντος
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλὼς,
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χοὗτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεὶ, καὶ πρὸς τούτοισιν ἔφασκεν
ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν,
κᾆτ' ἐντεῦθεν πρωρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,
ὅτι σωφρονικῶς, κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις
θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ.

ΗΜ. Ἱππί᾽ ἄναξ, Πόσειδον, ὦ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει,
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις,
μειρακίων θ᾽ ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασι
καὶ βαρυδαιμονούντων·
δεῦρ᾽ ἔλθ᾽ ἐς χορόν, ὦ χρυστρίαιν᾽, ὦ
δελφίνων μεδέων, Σουνιάρατε,
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ᾽, ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.

ΧΟΡ. Εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵ τινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ᾽ ἐκόσμησαν πόλιν·
οὐ γὰρ οὐδεὶς πώποτ᾽ αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν· ἀλλ᾽ ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας.
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ᾽ ἀπεψήσαντ᾽ ἄν, εἶτ᾽ ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ᾽ ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ᾽ ἐρόμενος Κλεαίνετον·
νῦν δ᾽ ἐὰν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ᾽ ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδέν, πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ᾽ εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ᾽ ἡμῖν κομῶσιν, μηδ᾽ ἀπεστλεγγισμένοις.

ΗΜ. Ὦ πολιοῦχε Παλλάς, ὦ
τῆς ἱερωτάτης, ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ᾽ ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ᾽ ἀφίκου, λαβοῦσα τὴν

ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστὶν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην, εἴπερ ποτὲ, καὶ νῦν.

## AVES.

### V. 1262.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΧΟΡΟΣ, ΚΗΡΥΞ, ΠΑΤΡΑΛΟΙΑΣ, ΚΙΝΗΣΙΑΣ, ΣΥΚΟΦΑΝΤΗΣ.

ΧΟ. ἈΠΟΚΕΚΛΗΙΚΑΜΕΝ Διογενεῖς θεοὺς
μηκέτι τὴν ἐμὴν διαπερᾶν πόλιν,
μηδέ τιν' ἱερόθυτον ἀνὰ δάπεδον ἔτι
τῇδε βροτὸν θεοῖσι πέμπειν καπνόν.
ΠΕΙ. δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
ΚΗ. ὦ Πεισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε,
ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε,
στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
ΠΕΙ. δέχομαι. τί δ' οὕτως οἱ λεῴ τιμῶσί με;
ΚΗ. ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν,
οὐκ οἶσθ' ὅσην τιμὴν παρ' ἀνθρώποις φέρει,
ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν
ἐλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε,
ἐκόμων, ἐπείνων, ἐρρύπων, ἐσωκράτων,
σκυτάλι' ἐφόρουν· νυνὶ δ' ὑποστρέψαντες αὖ
ὀρνιθομανοῦσι, πάντα δ' ὑπὸ τῆς ἡδονῆς
ποιοῦσιν ἅπερ ὄρνιθες ἐκμιμούμενοι.

πρῶτον μὲν εὐθὺς πάντες ἐξ εὐνῆς ἅμα
ἐπέτονθ' ἕωθεν, ὥσπερ ἡμεῖς, ἐπὶ νομόν·
κἄπειτ' ἂν ἅμα κατῆραν ἐς τὰ βιβλία·
εἶτ' ἀπενέμοντ' ἐνταῦθα τὰ ψηφίσματα.
ὠρνιθομάνουν δ' οὕτω περιφανῶς, ὥστε καὶ
πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
ᾖδον δ' ὑπὸ φιλορνιθίας πάντες μέλη
ὅπου χελιδὼν ἦν τις ἐμπεποιημένη
ἢ πηνέλοψ ἢ χὴν τις ἢ περιστερὰ
ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν.
τοιαῦτα μὲν τἀκεῖθεν. ἓν δέ σοι λέγω·
ἥξουσ' ἐκεῖθεν δεῦρο πλεῖν ἢ μύριοι
πτερῶν δεόμενοι, καὶ τρόπων γαμψωνύχων,
ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθέν.

ΠΕΙ. οὐκ ἆρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.
ἀλλ' ὡς τάχιστα σὺ μὲν ἰὼν τὰς ἀρρίχους
καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν,
Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά·
ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.

ΧΟ. ταχὺ δ' ἂν πολυάνορα τὰν πόλιν
καλοῖ τις ἀνθρώπων.

ΠΕΙ. τύχη μόνον προσείη.

ΧΟ. κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.

ΠΕΙ. θᾶττον φέρειν κελεύω.

ΧΟ. τί γὰρ οὐκ ἔνι ταύτῃ
καλὸν ἀνδρὶ μετοικεῖν;
Σοφία, Πόθος, ἀμβρόσιαι Χάριτες,
τό τε τῆς ἀγανόφρονος Ἡσυχίας
εὐάμερον πρόσωπον.

ΠΕΙ. ὡς βλακικῶς διακονεῖς.
οὐ θᾶττον ἐγκονήσεις;

ΧΟ. φερέτω κάλαθον ταχύ τις πτερύγων·
σὺ δ' αὖθις ἐξόρμα,
τύπτων γε τουτονὶ ὡδί·
πάνυ γὰρ βραδύς ἐστί τις ὥσπερ ὄνος.

ΠΕΙ. Μανῆς γάρ ἐστι δειλός.

ΧΟ. σὺ δὲ τὰ πτερὰ πρῶτον
διάθες τάδε κόσμῳ,
τά τε μουσίχ᾽ ὁμοῦ, τά τε μαντικὰ, καὶ
τὰ θαλάττι᾽· ἔπειτα δ᾽ ὅπως φρονίμως
πρὸς ἄνδρ᾽ ὁρῶν πτερώσεις.
ΠΕΙ. οὔ τοι μὰ τὰς κερχνῇδας ἔτι σοῦ σχήσομαι,
οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.
ΠΑ. γενοίμαν αἐτὸς ὑψιπέτας,
ὡς ἂν ποταθείην ὑπὲρ ἀτρυγέτου γλαυ-
κᾶς ἐπ᾽ οἶδμα λίμνας.
ΠΕΙ. ἔοικεν οὐ ψευδαγγελὴς εἶν᾽ ἄγγελος·
ᾄδων γὰρ ὅδε τις αἐτοὺς προσέρχεται.
ΠΑ. οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον·
ἐρῶ δ᾽ ἔγωγε τῶν ἐν ὄρνισιν νόμων.
ὀρνιθομανῶ γὰρ καὶ πέτομαι, καὶ βούλομαι
οἰκεῖν μεθ᾽ ὑμῶν, κἀπιθυμῶ τῶν νόμων.
ΠΕΙ. ποίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.
ΠΑ. πάντων· μάλιστα δ᾽ ὅτι καλὸν νομίζεται
τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.
ΠΕΙ. καὶ νὴ Δί᾽ ἀνδρεῖόν γε πάνυ νομίζομεν
ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.
ΠΑ. διὰ ταῦτα μέντοι δεῦρ᾽ ἀνοικισθεὶς ἐγὼ
ἄγχειν ἐπιθυμῶ τὸν πατέρα, καὶ πάντ᾽ ἔχειν.
ΠΕΙ. ἀλλ᾽ ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
παλαιὸς, ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν·
ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.
ΠΑ. ἀπέλαυσα τἄρ᾽ ἂν νὴ Δί᾽ ἐλθὼν ἐνθαδὶ,
εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.
ΠΕΙ. οὐδέν γ᾽. ἐπειδήπερ γὰρ ἦλθες, ὦ μέλε,
εὔνους, πτερώσω σ᾽ ὥσπερ ὄρνιν ὀρφανόν.
σοὶ δ᾽, ὦ νεανίσκ᾽, οὐ κακῶς ὑποθήσομαι,
ἀλλ᾽ οἷά περ αὐτὸς ἔμαθον, ὅτε παῖς ἦ. σὺ γὰρ
τὸν μὲν πατέρα μὴ τύπτε· ταυτηνδὶ λαβὼν
τὴν πτέρυγα, καὶ τουτὶ τὸ πλῆκτρον θἠτέρᾳ,

νομίσας ἀλεκτρυόνος ἔχειν τονδὶ λόφον,
φρούρει, στρατεύου, μισθοφορῶν σαυτὸν τρέφε.
τὸν πατέρ᾽ ἔα ζῆν· ἀλλ᾽ ἐπειδὴ μάχιμος εἶ,
εἰς τἀπὶ Θρᾴκης ἀποπέτου, κἀκεῖ μάχου.
ΠΑ. νὴ τὸν Διόνυσον, εὖ γέ μοι δοκεῖς λέγειν,
καὶ πείσομαί σοι. ΠΕΙ. νοῦν ἄρ᾽ ἕξεις νὴ Δία.
ΚΙ. ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις·
πέτομαι δ᾽ ὁδὸν ἄλλοτ᾽ ἐπ᾽ ἄλλαν μελέων.
ΠΕΙ. τουτὶ τὸ πρᾶγμα φορτίου δεῖται πτερῶν—
τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;
ΚΙ. ὄρνις γενέσθαι βούλομαι
λιγύφθογγος ἀηδών.
ΠΕΙ. παῦσαι μελῳδῶν, ἀλλ᾽ ὅ τι λέγεις εἰπέ μοι.
ΚΙ. ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος
ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.
ΠΕΙ. ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;
ΚΙ. κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται
ἀέρια καὶ σκότια καὶ κυαναυγέα
καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.
ΠΕΙ. οὐ δῆτ᾽ ἔγωγε. ΚΙ. νὴ τὸν Ἡρακλέα σύ γε·
ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα
εἴδωλα πετεινῶν
αἰθεροδρόμων,
οἰωνῶν ταναοδείρων.
ΠΕΙ. ὠόπ. ΚΙ. τὸν ἁλάδρομον ἁλάμενος
ἅμ᾽ ἀνέμων πνοαῖσι βαίην,
ΠΕΙ. νὴ τὸν Δί᾽ ἦ ᾽γώ σου καταπαύσω τὰς πνοάς.
ΚΙ. τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδόν,
τοτὲ δ᾽ αὖ βορέᾳ σῶμα πελάζων,
ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
χαρίεντά γ᾽ ὦ πρεσβῦτ᾽ ἐσοφίσω καὶ σοφά.
ΠΕΙ. οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;
ΚΙ. ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον,
ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ᾽ ἀεί;

ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι, τοῦτ' ἴσθ' ὅτι,
πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.
ΣΥ. ὄρνιθες τίνες οἵδ', οὐδὲν ἔχοντες πτεροποίκιλοι,
ταννσίπτερε ποικίλα χελιδοῖ;
ΠΕΙ. τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
ὁ δ' αὖ μινυρίζων δεῦρό τις προσέρχεται.
ΣΥ. ταννσίπτερε ποικίλα μάλ' αὖθις.
ΠΕΙ. ἐς θοἰμάτιον τὸ σκόλιον ᾄδειν μοι δοκεῖ,
δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
ΣΥ. τίς ὁ πτερῶν δεῦρ' ἐστὶ τοὺς ἀφικνουμένους;
ΠΕΙ. ὁδὶ πάρεστιν· ἀλλ' ὅτου δεῖ, χρὴ λέγειν.
ΣΥ. πτερῶν, πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον.
ΠΕΙ. μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;
ΣΥ. μὰ Δί', ἀλλὰ κλητήρ εἰμι νησιωτικὸς
καὶ συκοφάντης. ΠΕΙ. ὦ μακάριε τῆς τέχνης.
ΣΥ. καὶ πραγματοδίφης· εἶτα δέομαι πτερὰ λαβὼν
κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.
ΠΕΙ. ὑπὸ πτερύγων τι προσκαλεῖ σοφώτερον;
ΣΥ. μὰ Δί', ἀλλ' ἵν' οἱ λῃσταί γε μὴ λυπῶσί με,
μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν,
ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας.
ΠΕΙ. τουτὶ γὰρ ἐργάζει σὺ τοὖργον; εἰπέ μοι,
νεανίας ὢν συκοφαντεῖς τοὺς ξένους;
ΣΥ. τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.
ΠΕΙ. ἀλλ' ἔστιν ἕτερα νὴ Δί' ἔργα σώφρονα,
ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονὶ,
ἐκ τοῦ δικαίου μᾶλλον, ἢ δικοῤῥαφεῖν.
ΣΥ. ὦ δαιμόνιε, μὴ νουθέτει μ', ἀλλὰ πτέρου.
ΠΕΙ. νῦν τοι λέγων πτερῶ σε. ΣΥ. καὶ πῶς ἂν λόγοις
ἄνδρα πτερώσειας σύ; ΠΕΙ. πάντες τοῖς λόγοις
ἀναπτεροῦνται. ΣΥ. πάντες; ΠΕΙ. οὐκ ἀκήκοας,
ὅταν λέγωσιν αἱ πατέρες ἑκάστοτε
τοῖς μειρακίοις ἐν τοῖσι κουρείοις ταδὶ
" δεινῶς γέ μου τὸ μειράκιον Διιτρέφης
" λέγων ἀνεπτέρωκεν, ὥσθ' ἱππηλατεῖν."
ὁ δέ τις τὸν αὑτοῦ φησὶν ἐπὶ τραγῳδίᾳ

ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας.
ΣΥ. λόγοισι τἄρα καὶ πτεροῦνται; ΠΕΙ. φήμ' ἐγώ·
ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται
ἐπαίρεταί τ' ἄνθρωπος. οὕτω καί σ' ἐγὼ
ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις
τρέψαι πρὸς ἔργον νόμιμον. ΣΥ. ἀλλ' οὐ βούλομαι.
ΠΕΙ. τί δαὶ ποιήσεις; ΣΥ. τὸ γένος οὐ καταισχυνῶ·
παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς
ἱέρακος, ἢ κερχνῆδος, ὡς ἂν τοὺς ξένους
καλεσάμενος, κᾆτ' ἐγκεκληκὼς ἐνθαδί,
κᾆτ' αὖ πέτωμαι πάλιν ἐκεῖσε. ΠΕΙ. μανθάνω.
ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην
ἐνθάδε πρὶν ἥκειν ὁ ξένος. ΣΥ. πάνυ μανθάνεις.
ΠΕΙ. κᾄπειθ' ὁ μὲν πλεῖ δεῦρο, σὺ δ' ἐκεῖσ' αὖ πέτει
ἁρπασόμενος τὰ χρήματ' αὐτοῦ. ΣΥ. πάντ' ἔχεις·
βέμβικος οὐδὲν διαφέρειν δεῖ. ΠΕΙ. μανθάνω
βέμβικα· καὶ μὴν ἔστι μοι νὴ τὸν Δία
κάλλιστα Κορκυραῖα τοιαυτὶ πτερά.
ΣΥ. οἴμοι τάλας, μάστιγ' ἔχεις. ΠΕΙ. πτερὼ μὲν οὖν,
οἷσίν σε ποιήσω τήμερον βεμβικιᾶν.
ΣΥ. οἴμοι τάλας. ΠΕΙ. οὐ πτερυγιεῖς ἐντευθενί;
οὐκ ἀπολιβάξεις ὦ κάκιστ' ἀπολούμενος;
πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

## VESPÆ.

### V. 826.

ΒΔΕΛΥΚΛΕΩΝ, ΦΙΛΟΚΛΕΩΝ, ΞΑΝΘΙΑΣ, ΚΥΩΝ, ΧΟΡΟΣ, ΣΩΣΙΑΣ.

ΒΔΕ. ΦΕΡΕ νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
τί τις κακὸν δέδρακε τῶν ἐν τᾠκίᾳ;
ἡ Θρᾷττα προσκαύσασα πρῴην τὴν χύτραν

ΦΙ. ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας.
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο;
ΒΔΕ. μὰ τὸν Δί' οὐ πάρεστιν· ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.
τί ποτε τὸ χρῆμ'; ὡς δεινὸν ἡ φιλοχωρία.
ΞΑΝ. βάλλ' ἐς κόρακας.—τοιουτονὶ τρέφειν κύνα.
ΒΔΕ. τί δ' ἔστιν ἐτεόν; ΞΑΝ. οὐ γὰρ ὁ Λάβης ἀρτίως
ὁ κύων παράξας εἰς τὸν ἰπνὸν ἁρπάσας
τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκεν;
ΒΔΕ. τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.
ΞΑΝ. μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ' ἅτερός φησιν κύων
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.
ΒΔΕ. ἴθι νυν, ἄγ' αὐτὼ δεῦρο. ΞΑΝ. ταῦτα χρὴ ποιεῖν.
ΦΙ. τουτὶ τί ἐστι; ΒΔΕ. χοιροκομεῖον Ἑστίας.
ΦΙ. εἶθ' ἱεροσυλήσας φέρεις; ΒΔΕ. οὔκ· ἀλλ' ἵνα
ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
ΦΙ. ἀλλ' εἴσαγ' ἀνύσας· ὡς ἐγὼ τιμᾶν βλέπω.
ΒΔΕ. φέρε νυν, ἐνέγκω τὰς σανίδας, καὶ τὰς γραφάς.
ΦΙ. οἴμοι, διατρίψεις, κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
ΒΔΕ. ἰδού. ΦΙ. κάλει νῦν. ΒΔΕ. ταῦτα δή. ΦΙ. τίς οὑτοσὶ
ὁ πρῶτός ἐστιν; ΒΔΕ. εἰς κόρακας· ὡς ἄχθομαι,
ὁτιὴ 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
ΦΙ. οὗτος σὺ, ποῖ θεῖς; ΒΔΕ. ἐπὶ καδίσκους. ΦΙ. μηδαμῶς·
ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
ΒΔΕ. κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν,
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙ. ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
ΒΔΕ. εὖ γ' ἐκπορίζεις αὐτὰ, κἀπιχωρίως.
ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω,
καὶ μυῤῥίνας, καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
ΧΟ. καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς,
καὶ ταῖς εὐχαῖς,

φήμην ἀγαθὴν λέξομεν ὑμῖν,
ὅτι γενναίως ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκους ξυνέβητον.
ΒΔΕ. εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
ΧΟ. ὦ Φοῖβ' Ἄπολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ', ὃ μηχανᾶται
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
ἅπασιν ἡμῖν ἁρμόσαι
παυσαμένοις πλάνων.
Ἰήϊε Παιάν.
ΒΔΕ. ὦ δέσποτ' ἄναξ, γεῖτον Ἀγυιεῦ τοὐμοῦ προθύρου
προπύλαιε,
δέξαι τελετὴν καινὴν, ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν·
παῦσόν τ' αὐτοῦ τουτὶ τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος,
ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμίξας·
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις
ἤπιον αὐτὸν,
τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον
τῶν γραψαμένων,
κἀπιδακρύειν ἀντιβολούντων,
καὶ παυσάμενον τῆς δυσκολίας
ἀπὸ τῆς ὀργῆς
τὴν ἀκαλήφην ἀφελέσθαι.
ΧΟ. ξυνευχόμεσθά σοι * * κἀπᾴδομεν
νέαισιν ἀρχαῖς, εἵνεκα τῶν προλελεγμένων.
εὖνοι γάρ ἐσμεν, ἐξ οὗ
τὸν δῆμον ᾐσθόμεσθά σου
φιλοῦντος, ὡς οὐδεὶς ἀνὴρ
τῶν γε νεωτέρων.
ΒΔΕ. εἴ τις θύραισιν Ἡλιαστὴς, εἰσίτω,
ὡς, ἡνίκ' ἂν λέγωσιν, οὐκ ἐσφρήσομεν.
ΦΙ. τίς ἆρ' ὁ φεύγων οὗτος; ὅσον ἁλώσεται.
ΞΑΝ. ἀκούετ' ἤδη τῆς γραφῆς. ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα,
τὸν τυρὸν, ἀδικεῖν, ὅτι μόνος κατήσθιεν
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.

ΦΙ. θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῶ.
ΒΔΕ. καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.
ΦΙ. ὦ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον βλέπει·
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
ποῦ δ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;
ΚΥΩΝ. αὖ αὖ. ΒΔΕ. πάρεστιν. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.
ΣΩ. σίγα, κάθιζε, σὺ δ' ἀναβὰς κατηγόρει.
ΦΙ. φέρε νυν, ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
ΞΑΝ. τῆς μὲν γραφῆς ἠκούσαθ', ἣν ἐγραψάμην,
ἄνδρες δικασταὶ, τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ, καὶ τὸ ῥυππαπαί.
ἀποδρὰς γὰρ ἐς τὴν γωνίαν, τυρὸν πολὺν
κατεσικέλιζε κἀνέπλητ' ἐν τῷ σκότῳ,
ΦΙ. νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος. ΞΑΝ. κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καίτοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται,
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;
ΦΙ. οὐδὲν μετέδωκεν; ΞΑΝ. οὐδὲ τῷ κοινῷ γ' ἐμοί.
ΦΙ. θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.
ΒΔΕ. πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων. ΦΙ. ἀλλ', ὠγαθὲ,
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.
ΞΑΝ. μή νυν ἀφῆτέ γ' αὐτὸν, ὡς ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ
ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκεν.
ΦΙ. ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.
ΞΑΝ. πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο·
ἵνα μὴ κεκλάγχω διὰ κενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μὴ, τὸ λοιπὸν οὐ κεκλάγξομαι.
ΦΙ. ὅσας κατηγόρησε τὰς πανουργίας.
κλέπτον τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ
ἀλεκτρυών; νὴ τὸν Δί', ἐπιμύει γέ τοι.

ὁ Θεσμοθέτης, ποῦ 'σθ' οὗτος;
ΣΩ. Λάβητι μάρτυρας παρεῖναι, τρυβλίον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ΒΔΕ. ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.
ΦΙ. ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.
ΒΔΕ. οὔκ· ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης·
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
πάρεχ' ἐκποδών· ἐγὼ γὰρ ἀπολογήσομαι.
Χαλεπὸν μὲν ὦνδρές ἐστι διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι καὶ διώκει τοὺς λύκους.
ΦΙ. κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.
ΒΔΕ. μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
ΦΙ. τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
ΒΔΕ. ὅτι σοῦ προμάχεται, καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριστός ἐστιν. εἰ δ' ὑφείλετο,
ξύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
ΦΙ. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.
ΒΔΕ. ἄκουσον, ὦ δαιμόνιέ, μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἅλαβες—
φησὶ κατακνῆσαι. ΦΙ. νὴ Δί', ἀλλὰ ψεύδεται.
ΒΔΕ. ὦ δαιμόνι', ἔλει τοὺς ταλαιπωρουμένους.
οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι' ἐσθίει
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταυτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γάρ, ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος, εἰ δὲ μή, δάκνει.
ΦΙ. αἰβοῖ· τί κακόν ποτ' ἔσθ' ὅτῳ μαλάττομαι;
κακόν τι περιβαίνει με, κἀναπείθομαι.
ΒΔΕ. ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτόν, ὦ πάτερ,

καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ' ὦ πονηρὰ, καὶ κνυζούμενα
αἰτεῖτε κἀντιβολεῖτε καὶ δακρύετε.
ΦΙ. κατάβα, κατάβα, κατάβα, κατάβα. ΒΔΕ. καταβήσομαι·
καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.
ΦΙ. ἐς κόρακας, ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν
οὐδέν ποτέ γ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
ΒΔΕ. οὔκουν ἀποφεύγει δῆτα; ΦΙ. χαλεπὸν εἰδέναι.
ΒΔΕ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾷξον κἀπόλυσον, ὦ πάτερ.
ΦΙ. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
ΒΔΕ. φέρε νυν, σὲ τῃδὶ τὴν ταχίστην περιάγω.
ΦΙ. ὅδ' ἔσθ' ὁ πρότερος; ΒΔΕ. οὗτος. ΦΙ. αὕτη 'ντευθενί.
ΒΔΕ. ἐξηπάτηται, κἀπολέλυκεν οὐχ ἑκών.
ΦΙ. φέρ' ἐξεράσω. πῶς ἄρ' ἠγωνίσμεθα;
ΒΔΕ. δείξειν ἔοικεν· ἐκπέφευγας ὦ Λάβης.
πάτερ, πάτερ, τί πέπονθας; ΦΙ. οἴμοι, ποῦ 'σθ' ὕδωρ;
ΒΔΕ. ἔπαιρε σαυτόν. ΦΙ. εἰπέ νυν ἐκεῖνό μοι,
ὄντως ἀπέφυγε; ΒΔΕ. νὴ Δί'. ΦΙ. οὐδέν εἰμ' ἄρα.
ΒΔΕ. μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
ΦΙ. πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοὶ, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὔτ' ἔδρασα κοὐ τοὐμοῦ τρόπου.
ΒΔΕ. καὶ μηδὲν ἀγανάκτει γ'· ἐγὼ γάρ σ' ὦ πάτερ
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,
ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον.

# ECCLESIAZUSÆ.

## V. 478.

ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

ΧΟ. Ἔμβα, χώρει,
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;
στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μή πού τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
πρὸς ταῦτα συστέλλου σεαυ-
τὴν, καὶ περισκοπουμένη
* * τἀκεῖσε καὶ
τἀκ δεξιᾶς, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη,
ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ἦμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν, ὅθεν περ ἡ στρατηγὸς
ἔσθ', ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις·
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,
πώγωνας ἐξηρτημένας,
μὴ καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς,
ἐλθοῦσα πρὸς τὸ τειχίον,
παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἧπερ ἦσθα,
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα, καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα·
χαὖται γὰρ ἥκουσιν πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.

ΠΡΑ. ταυτὶ μὲν ὦ γυναῖκες ἡμῖν εὐτυχῶς
τὰ πράγματ' ἐκβέβηκεν, ἁβουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα, πρίν τιν' ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας· ἐμβὰς ἐκποδὼν ἴτω·

χάλα συναπτοὺς ἡνίας Λακωνικάς·
βακτηρίας ἄφεσθε. καὶ μέντοι σὺ μὲν
ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
ὅθεν περ ἔλαβον, τἄλλά θ' ἁξηνεγκάμην.

ΧΟ. κατάκειται δὴ πάνθ' ἅπερ εἶπας· σὸν δ' ἔργον τἄλλα
διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν·
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.

ΠΡΑ. περιμείνατε νῦν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειροτόνημαι,
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι· καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

# ECCLESIAZUSÆ.

## V. 478.

ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

ΧΟ. ἜΜΒΑ, χώρει,
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;
στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μή πού τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
πρὸς ταῦτα συστέλλου σεαυ-
τὴν, καὶ περισκοπουμένη
* * τἀκεῖσε καὶ
τὰκ δεξιᾶς, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη,
ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ἦμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν, ὅθεν περ ἡ στρατηγὸς
ἔσθ', ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις·
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,
πώγωνας ἐξηρτημένας,
μὴ καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς,
ἐλθοῦσα πρὸς τὸ τειχίον,
παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα,
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα, καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα·
χαὖται γὰρ ἥκουσιν πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.
ΠΡΑ. ταυτὶ μὲν ὦ γυναῖκες ἡμῖν εὐτυχῶς
τὰ πράγματ' ἐκβέβηκεν, ἁβουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα, πρίν τιν' ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας· ἐμβὰς ἐκποδὼν ἴτω·

χάλα συνάπτους ἡνίας Λακωνικάς·
βακτηρίας ἄφεσθε. καὶ μέντοι σὺ μὲν
ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
ὅθεν περ ἔλαβον, τἆλλά θ' ἀξηνεγκάμην.

ΧΟ. κατάκειται δὴ πάνθ' ἅπερ εἶπας· σὸν δ' ἔργον τἆλλα
διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν·
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.

ΠΡΑ. περιμείνατε νῦν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειροτόνημαι,
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι· καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

# COMICORUM GRÆCORUM

## FRAGMENTA.

ALEXIS.
ANAXANDRIDES.
ANTHIPPUS.
ANTIPHANES.
APOLLODORUS.
ARISTOPHON.
DIODORUS.
DIPHILUS.
EPICHARMUS.
EUBULUS.
EUPHRON.
EUPOLIS.
MACHON.
MENANDER.
MNESIMACHUS.
NICOMACHUS.
PHERECRATES.
PHILEMON.
PLATO.
SIMULUS.
SOTION.
TIMOCLES.
XENARCHUS.

# COMICORUM GRÆCORUM

# FRAGMENTA.

## ALEXIS.

### ΦΑΙΔΡΩΙ.

ΠΟΡΕΥΟΜΕΝΩΙ δ' ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι.
καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι
τὸν Ἔρωτα, συντομώτατον δ' εἰπεῖν, ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας.
ἔστιν γὰρ οὔτε θῆλυς οὔτ' ἄῤῥην, πάλιν
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὔτ' ἀβέλτερος
οὔτ' αὖθις ἔμφρων, ἀλλὰ συννενημένος
πανταχόθεν, ἑνὶ τύπῳ τε πόλλ' εἴδη φέρων.
ἡ τόλμα μὲν γὰρ ἀνδρὸς, ἡ δὲ δειλία
γυναικὸς ἡ δ' ἄνοια μανίας, ὁ δὲ λόγος
φρονοῦντος, ἡ σφοδρότης δὲ θηρὸς, ὁ δὲ πόνος
ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος,
καὶ ταῦτ' ἐγὼ, μὰ τὴν Ἀθηνᾶν, καὶ θεοὺς,
οὐκ οἶδ' ὅ τι ἐστὶν, ἀλλ' ὅμως ἔχει γέ τι
τοιοῦτον, ἐγγύς τ' εἰμὶ τοὐνόματος.

### ΑΤΘΙΔΙ.

Ὁ πρῶτος εἰπὼν ὅτι σοφιστὴς οὐδὲ εἷς
ἔμψυχον οὐδὲν ἐσθίει σοφός τις ἦν.
ἐγὼ γὰρ ἥκω νῦν ἀγοράσας οὐδὲ ἓν
ἔμψυχον. ἰχθῦς ἐπριάμην τεθνηκότας

μεγάλους· κρεάδι' ἀρνὸς ἔστι πίονος
οὐ ζῶντος· οὐχ οἷόν τε γάρ. τί ἄλλο; καὶ
ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐὰν
δείξῃ τις ἢ φωνήν τι ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ καὶ παραβαίνειν τὸν νόμον.

## ΜΑΝΔΡΑΓΟΡΙΖΟΜΕΝΗΙ.

Εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς.
ἔχοντες οὐδὲν εὐπορῶμεν τοῖς πέλας·
ἐράνους φέροντες οὐ φέρομεν ἀλλ' ἢ κακῶς.
τὰκ τῆς τροφῆς δὲ τῆς καθ' ἡμέραν πάλιν,
γλιχόμεθα μὲν τὴν μᾶζαν ἵνα λευκὴ παρῇ,
ζωμὸν δὲ ταυτῇ μέλανα μηχανώμεθα.
τὸ καλὸν δὲ χρῶμα δευσοποιῷ χρώζομεν
καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν,
τὸ δ' ὄψον ἂν μὴ θερμὸν ᾖ, διασύρομεν.
καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν,
ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχεύομεν.
οὐκοῦν, τὸ πολλοῖς τῶν σοφρῶν εἰρημένον,
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεί,
ἐπὰν γένηται δ', ὡς τάχιστ' ἔχειν τέλος.

## ΑΔΗΛΩΙ.

Τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως, τοὔμπαλιν.
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι, καὶ τοῖς σώμασιν.
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον.
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν,

τοῖς μὲν μέτριον πίνουσι, καὶ κεκραμένον,
εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·
ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ·
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.

## ΑΔΗΛΩΙ.

Ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀῤῥύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς. οὗ μήτε πράττεται τέλος
μηδεὶς γὰρ ἡμᾶς μήτε τιμὴν δόντα δεῖ
ἑτέρων λαβεῖν, φέρει δὲ τοῖς μὲν χρωμένοις
δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονὴν,
κόσμον δὲ τῷ βίῳ, τὸ τοιοῦτον γέρας
τίς οὐκ ἂν αὑτῷ κτῷτο φάσκων νοῦν ἔχειν;

## ΑΔΗΛΩΙ.

Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων, τολμᾷ ποτε
γαμεῖν διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν,
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

## ΑΔΗΛΩΙ.

Ἔστιν ἀνήρ μοι πτωχὸς, κἀγὼ
γραῦς καὶ θυγάτηρ, καὶ παῖς υἱὸς,
χ' ἥδ' ἡ χρηστή· πένθ' οἱ πάντες.
τούτων οἱ τρεῖς μὲν δειπνοῦμεν,
δύο δ' αὐτοῖς συγκοινωνοῦμεν
μάζης μικρᾶς· φθόγγους δ' ἀλύρους

μεγάλους· κρεάδι' ἀρνὸς ἔστι πίονος
οὐ ζῶντος· οὐχ οἷόν τε γάρ. τί ἄλλο; καὶ
ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐὰν
δείξῃ τις ἢ φωνήν τι ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ καὶ παραβαίνειν τὸν νόμον.

## ΜΑΝΔΡΑΓΟΡΙΖΟΜΕΝΗΙ.

Εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς.
ἔχοντες οὐδὲν εὐπορῶμεν τοῖς πέλας·
ἐράνους φέροντες οὐ φέρομεν ἀλλ' ἢ κακῶς.
τὰκ τῆς τροφῆς δὲ τῆς καθ' ἡμέραν πάλιν,
γλιχόμεθα μὲν τὴν μᾶζαν ἵνα λευκὴ παρῇ,
ζωμὸν δὲ ταυτῇ μέλανα μηχανώμεθα.
τὸ καλὸν δὲ χρῶμα δευσοποιῷ χρώζομεν
καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν,
τὸ δ' ὄψον ἂν μὴ θερμὸν ᾖ, διασύρομεν.
καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν,
ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχεύομεν.
οὐκοῦν, τὸ πολλοῖς τῶν σοφρῶν εἰρημένον,
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεὶ,
ἐπὰν γένηται δ', ὡς τάχιστ' ἔχειν τέλος.

## ΑΔΗΛΩΙ.

Τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως, τοὔμπαλιν.
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι, καὶ τοῖς σώμασιν.
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον.
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει.
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν,

τοῖς μὲν μέτριον πίνουσι, καὶ κεκραμένον,
εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·
ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ·
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.

## ΑΔΗΛΩΙ.

Ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀῤῥύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς. οὗ μήτε πράττεται τέλος
μηδεὶς γὰρ ἡμᾶς μήτε τιμὴν δόντα δεῖ
ἑτέρων λαβεῖν, φέρει δὲ τοῖς μὲν χρωμένοις
δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν,
κόσμον δὲ τῷ βίῳ, τὸ τοιοῦτον γέρας
τίς οὐκ ἂν αὑτῷ κτῷτο φάσκων νοῦν ἔχειν;

## ΑΔΗΛΩΙ.

Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων, τολμᾷ ποτε
γαμεῖν διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν,
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

## ΑΔΗΛΩΙ.

Ἔστιν ἀνήρ μοι πτωχὸς, κἀγὼ
γραῦς καὶ θυγάτηρ, καὶ παῖς υἱὸς,
χ' ἡδ' ἡ χρηστή· πένθ' οἱ πάντες.
τούτων οἱ τρεῖς μὲν δειπνοῦμεν,
δύο δ' αὐτοῖς συγκοινωνοῦμεν
μάζης μικρᾶς· φθόγγους δ' ἀλύρους

*θρηνοῦμεν, ἐπὰν μηδὲν ἔχωμεν.*
*χρῶμα δ' ἀσίτων ἡμῶν ὄντων*
*γίγνεται ὠχρόν· τὰ μέρη δ' ἡμῶν*
*χ' ἡ σύνταξις τοῦ βίοτου 'στὶν,*
*κύαμος, θέρμος, γογγυλὶς, ὦχρος,*
*λάπαθος, λάθυρος, φηγὸς, βολβὸς,*
*τέττιξ, ἐρέβινθος, ἀχρὰς,*
*τό τε θειοφανὲς μητρῷον ἐμοὶ*
*μελέδημ', ἰσχὰς*
*Φρυγίας εὑρήματα συκῆς.*

---

# ANAXANDRIDES.

## ΠΟΛΕΣΙ.

ΟΥΚ *ἂν δυναίμην ξυμμαχεῖν ὑμῖν ἐγώ·*
*οὔθ' οἱ τρόποι γὰρ ὁμονοοῦσ' οὔθ' οἱ νόμοι*
*ἡμῶν, ἀπ' ἀλλήλων δὲ διέχουσιν πολύ.*
*βοῦν προσκυνεῖς, ἐγὼ δὲ θύω τοῖς θεοῖς.*
*τὴν ἔγχελυν μέγιστον ἡγεῖ δαίμονα,*
*ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παρὰ πολύ.*
*οὐκ ἐσθίεις ὕει', ἐγὼ δέ γ' ἥδομαι*
*μάλιστα τούτοις. κύνα σέβεις, τύπτω δ' ἐγὼ,*
*τοὔψον κατεσθίουσαν ἡνίκ' ἂν λάβω.*
*τὸν αἰέλουρον κακὸν ἔχοντ' ἐὰν ἴδῃς,*
*κλάεις, ἐγὼ δ' ἥδιστ' ἀποκτείνας δέρω.*
*δύναται παρ' ὑμῖν μυγαλῆ, παρ' ἐμοὶ δέ γ' οὔ.*

# ANTHIPPUS.

## ΕΓΚΑΛΥΠΤΟΜΕΝΩΙ.

ΣΟΦΩΝ Ἀκαρνὰν καὶ Ῥόδιος Δαμόξενος
ἐγένονθ' ἑαυτῶν ξυμμαθηταὶ τῆς τέχνης·
ἐδίδασκε δ' αὐτοὺς Σικελιώτης Λάβδακος.
οὗτοι τὰ μὲν παλαιὰ καὶ θρυλούμενα
ἀρτύματ' ἐξήλειψαν ἐκ τῶν βιβλίων,
καὶ τὴν θυείαν ἠφάνισαν ἐκ τοῦ μέσου,
οἷαν λέγω κύμινον, ὄξος, σίλφιον,
τυρὸν, κορίαννον, οἷς ὁ Κρόνος ἀρτύμασιν
ἐχρᾶτο, πάντα. φίλων τὸ εἶναι θ', ὑπέλαβον
τὸν τοῖς τοιούτοις παντοπώλην χρώμενον.
αὐτοὶ δ' ἔλαιον καὶ λοπάδα καινὴν, πάτερ,
πῦρ τ' ὀξὺ καὶ μὴ πολλάκις φυσώμενον
ἐποίουν· ἀπὸ τούτου πᾶν τὸ δεῖπνον εὐτρεπές.
οὗτοι τε πρῶτον δάκρυα καὶ πταρμὸν πολὺν
ἀπὸ τῆς τραπέζης καὶ σίαλον ἀπήγαγον,
τῶν τ' ἐσθιόντων ἀνεκάθηραν τοὺς πόρους.
ὁ μὲν οὖν Ῥόδιος πιών τιν' ἅλμην ἀπέθανε·
παρὰ τὴν φύσιν γὰρ τὸ ποτὸν ἦν. B. μάλ' εἰκότως.
A. ὁ Σόφων δὲ πᾶσαν τὴν Ἰωνίαν ἔχει,
ἐμὸς γενόμενος, ὦ πάτερ, διδάσκαλος.
καὐτὸς φιλοσοφῶ καταλιπεῖν συγγράμματα
σπεύδων ἐμαυτοῦ καινὰ τῆς τέχνης. B. παπαῖ
ἐμὲ κατακόψεις, οὐχ ὃ θύειν μέλλομεν.
A. τὸν ὄρθρον ἐν ταῖς χερσὶν ὄψει βιβλία
ἔχοντα καὶ ζητοῦντα τὰ κατὰ τὴν τέχνην.
γεύσω δ', ἐὰν βούλῃ, σὲ τῶν εὑρημένων.
οὐ ταὐτὰ προσάγω πᾶσιν ἀεὶ βρώματα.
τεταγμέν' εὐθύς ἐστί μοι πρὸς τὸν βίον·
ἕτερ' ἐστὶ τοῖς ἐρῶσι καὶ τοῖς φιλοσόφοις,
καὶ τοῖς τελώναις. μειράκιον ἐρωμένην
ἔχον πατρῴαν οὐσίαν κατεσθίει·

τούτῳ παρέθηκα σηπίας καὶ τευθίδας,
καὶ τῶν πετραίων ἰχθύων τῶν ποικίλων
ἐμβαμματίοις γλαφυροῖσι κεχορηγημένα·
ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικὸς,
πρὸς τῷ φιλεῖν δὲ τὴν διάνοιάν ἐστ' ἔχων.
τῷ φιλοσόφῳ παρέθηκα κωλέαν, πόδας·
ἀδηφάγον τὸ ζῶον εἰς ὑπερβολὴν
ἐστίν· τελώνῃ γλαῦκον, ἔγχελυν, σπάρον·
ὅταν ἐγγὺς ᾖ δ' ὅδ' ὕστερος, ἀρτύω φακῆν.
καὶ τὸ περίδειπνον τοῦ βίου λαμπρὸν ποιῶ.
τὰ τῶν γερόντων στόματα διαφορὰν ἔχει
νωθρότερα πολλῷ δ' ἐστὶν ἢ τὰ τῶν νέων.
σίναπι τούτοις παρατίθημι, καὶ ποιῶ
χυλοὺς ἐχομένους δριμύτητος τὴν φύσιν,
ἵνα διεγείρας πνευματῶ τὸν ἀέρα.
ἰδὼν τὸ πρόσωπον γνώσομ' οὗ ζητεῖ φαγεῖν
ἕκαστος ὑμῶν.

## ANTIPHANES.

### ΚΝΑΦΕΙ.

ὍΣΤΙΣ τέχνην κατέδειξε πρῶτος τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν.
ὅτ' ἂν γὰρ ἀπορῆται τις, ἂν μὲν ἀργὸς ᾖν,
ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν,
ὥστ' ἢ γεγονέναι λαμπρὸν, ἢ τεθνηκέναι.
ἡμεῖς δ' ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν.
ἐξόν τε μικρὸν διαπορηθῆναι χρόνον,
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

### ΠΟΙΗΣΕΙ.

Μακάριόν ἐστιν ἡ τραγῳδία
ποίημα κατὰ πάντ'· εἴ γε πρῶτον οἱ λόγοι

ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι,
πρίν καί τιν' εἰπεῖν· ὡς ὑπομνῆσαι μόνον
δεῖ τὸν ποιητήν. Οἰδίπουν γὰρ ἂν μόνον
φῶ, τἄλλα πάντ' ἴσασιν· ὁ πατὴρ Λάϊος,
μήτηρ Ἰοκάστη, θυγατέρες, παῖδες τίνες,
τί πείσεθ' οὗτος, τὶ πεποίηκεν. ἂν πάλιν
εἴπῃ τις Ἀλκμέωνα, καὶ τὰ παιδία,
πάντ' εὐθὺς εἴρηχ', ὅτι μανεὶς ἀπέκτονε
τὴν μητέρ', ἀγανακτῶν δ' Ἄδραστος εὐθέως
ἥξει, πάλιν τ' ἄπεισι.
ἔπειθ', ὅταν μηδὲν δύνωντ' εἰπεῖν ἔτι,
κομιδῇ δ' ἀπειρήκωσιν ἐν τοῖς δράμασιν,
αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανὴν,
καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει.
ἡμῖν δὲ ταῦτ' οὐκ ἔστιν, ἀλλὰ πάντα δεῖ
εὑρεῖν ὀνόματα καινὰ, τὰ διῳκημένα
πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφὴν,
τὴν εἰσβολήν. ἂν ἕν τι τούτων παραλίπῃ
Χρέμης τις ἢ Φείδων τις, ἐκσυρίττεται·
Πηλεῖ δὲ ταῦτ' ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

## ΝΕΑΝΙΣΚΟΙΣ.

Ἐγὼ τέως μὲν ᾠόμην τὰς Γοργόνας
εἶναί τι λογοποίημά· πρὸς δ' ἀγορὰν ὅταν
ἔλθω, πεπίστευκ'· αὐτόθι ἐμβλέπων γὰρ ἂν
τοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίνομαι·
ὥστ' ἐξ ἀνάγκης ἔστ' ἀποστραφέντι μοι
λαλεῖν πρὸς αὐτούς. ἂν ἴδω γὰρ ἡλίκον,
ἰχθὺν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

## ΣΤΡΑΤΙΩΤΗΙ.

* * ὅστις ἄνθρωπος δὲ φὺς
ἀσφαλές τι κτῆμ' ὑπάρχειν τῷ βίῳ λογίζεται,
πλεῖστον ἡμάρτηκεν· ἢ γὰρ εἰσφορά τις ἥρπακε

τἄνδοθεν πάντ', ἢ δίκη τις περιπεσὼν ἀπώλετο,
ἢ στρατηγήσας προσῶφλεν, ἢ χορηγὸς αἱρεθεὶς
ἱμάτια χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ,
ἢ τριηραρχῶν ἀπήγξατ', ἢ πλέων ἥλωκέ ποι.
ἢ βαδίζων, ἢ καθεύδων, κατακέκοφθ' ὑπ' οἰκετῶν.
οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅσ' ἂν καθ' ἡμέραν
εἰς ἑαυτὸν ἡδέως τις εἰσαναλίσκων τύχῃ.
οὐδὲ ταῦτα σφόδρα τι· καὶ γὰρ τὴν τράπεζαν ἁρπάσαι
κειμένην ἄν τις προσελθών· ἀλλ' ὅταν τὴν ἔνθεσιν
ἐντὸς ἤδη τῶν ὀδόντων τυγχάνῃς κατεσπακὼς,
τοῦτ' ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον.

## ΑΔΗΛΩΙ.

ἎΡ' ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ' ἀεὶ
τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅτ' ἂν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

## ΑΔΗΛΟΙ.

Τοῦ γάρ τις ἄλλου, πρὸς Θεῶν ἂν οὕνεκα
εὔξαιτο πλουτεῖν, εὐπορεῖν τε χρημάτων,
ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
σπείρειν τε καρπὸν χάριτος, ἡδίστης Θεῶν;
τοῦ μὲν πιεῖν γὰρ καὶ φαγεῖν τὰς ἡδόνας
ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δὲ
δείπνοις τὸ πεινῆν παύεται.

# APOLLODORUS.

## ΓΡΑΜΜΑΤΙΔΙΟΠΟΙΩΙ.

Ὦ ΠΑΝΤΕΣ ἄνθρωποι, τί τὸ ζῆν ἡδέως
παρέντες ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν
πολεμοῦντες ἀλλήλους; πότερα πρὸς τῶν θεῶν
ἐπιστατεῖ τις τοῦ βίου νυνὶ τύχη
ἄγροικος ἡμῶν, οὔτε παιδείαν ὅλως
εἰδυῖα, τί τὸ κακόν ποτ' ἢ τί τἀγαθὸν
ἔστ' ἀγνοοῦσα παντελῶς, εἰκῇ τε πῶς
ἡμᾶς κυλίνδουσ' ὅντιν' ἂν τύχῃ τρόπον;
οἶμαί γε. τίς γὰρ μᾶλλον ἂν προείλετο
Ἕλλην ἀληθῶς οὖσα λεπομένους ὁρᾶν
αὐτοὺς ὑφ' αὑτῶν καὶ καταπίπτοντας νεκρούς,
ἐξὸν ἱλαρούς, παίζοντας, ὑποπεπωκότας,
αὐλουμένους ὡδί; λέγ' αὐτή, γλυκυτάτη,
ἔλεγχ' ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην.
οὐ τοῦτο τὸ ζῆν ἐστὶ τὸν καλούμενον
θεῶν ἀληθῶς βίον; ὅσῳ δ' ἡδίονα
τὰ πράγματ' ἐν ταῖς πόλεσιν ἦν ἂν ἢ τὰ νῦν,
εἰ μεταβαλόντες τὸν βίον διήγομεν·
πίνειν Ἀθηναίους ἅπαντας τοὺς μέχρι
ἐτῶν τριάκοντ', ἐξιέναι, τοὺς δ' ἱππέας
ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα
στεφάνους ἔχοντας καὶ μύρον, πρὸ ἡμέρας
τοὺς τὴν ῥάφανον πωλοῦντας ἕψειν Μεγαρέων,
εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους,
κεραννύναι τὸν οἶνον Εὐβοῆς· τρυφὴ
καὶ βίος ἀληθῶς. ἀλλ' ἀπαιδεύτῳ τύχῃ
δουλεύομεν.

## ΑΔΗΛΩΙ.

Εἰς οἰκίαν ὅταν τις εἰσίῃ φίλου,
ἔστιν θεωρεῖν, Νικοφῶν, τὴν τοῦ φίλου
εὔνοιαν εὐθὺς εἰσιόντα τὰς θύρας.

ὁ θυρωρὸς ἱλαρὸς πρῶτόν ἐστιν, ἡ κύων
ἔσανε καὶ προσῆλθεν, ὑπήντησέ τις,
δίφρον εὐθέως ἔθηκε, κἂν μηδεὶς λέγῃ
μηδέν.

## ARISTOPHON.

### ΠΥΘΑΓΟΡΙΣΤΗΙ.

ΕΙΤ' οὐ δικαίως ἔστ' ἀπεψηφισμένος,
ὑπὸ τῶν θεῶν τῶν δώδεκ' εἰκότως Ἔρως;
ἐτάραττε κἀκείνους γὰρ, ἐμβάλλων στάσεις,
ὅτ' ἦν μετ' αὐτῶν· ὡς δὲ λίαν ἦν θρασὺς,
καὶ σοβαρὸς, ἀποκόψαντες αὐτοῦ τὰ πτερὰ,
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ' αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω·
τὰς δὲ πτέρυγας, ἃς εἶχε, τῇ Νίκῃ φέρειν
ἔδοσαν, περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.

### ΠΥΘΑΓΟΡΙΣΤΗΙ.

Πρὸς τῶν θεῶν οἰόμεθα τοὺς πάλαι ποτὲ
τοὺς Πυθαγοριστὰς γιγνομένους οὕτως ῥυπᾶν
ἑκόντας, ἢ φορεῖν τρίβωνας ἡδέως;
οὐκ ἔστι τούτων οὐδὲν, ὡς ἐμοὶ δοκεῖ·
ἀλλ' ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἓν,
τῆς εὐτελείας πρόφασιν εὑρόντες καλὴν,
ὅρους ἔπηξαν τοῖς πένησι χρησίμους·
ἐπεὶ παράθες αὐτοῖσιν ἰχθῦς, ἢ κρέας,
κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους
ἐθέλω κρέμασθαι δεκάκις.

### ΠΥΘΑΓΟΡΙΣΤΗΙ.

Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν τε μηδὲ ἓν
νόμιζ' ὁρᾶν Τιθύμαλλον, ἢ Φιλιππίδην.

ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων
λαχάνων τε κάμπη, πρὸς τὸ μὴ λοῦσθαι ῥύπος,
ὑπαίθριος χειμῶνα διάγειν κόψιχος,
πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν
τέττιξ, ἐλαίῳ μήτε χρῆσθαι μηθ' ὁρᾶν
κονιορτὸς, ἀνυπόδητος ὄρθρου περιπατεῖν
γέρανος, καθεύδειν μηδὲ μικρὸν νυκτερίς.

## ΚΑΛΛΩΝΙΔΗΙ.

Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερος
θνητῶν. ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·
οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν
ἐλάμβανεν γυναῖχ'· ὁ δ' ὕστερον λαβὼν
εἰς προὖπτον εἰδὼς αὐτὸν ἐνέβαλεν κακόν.

---

# DIODORUS.

## ΕΠΙΚΛΗΡΩΙ.

ΒΟΥΛΟΜΑΙ δεῖξαι σαφῶς
ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον
καὶ τῶν θεῶν εὕρημα, τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί.
τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν.
οὗ δ' ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ
παρακειμένην τε τὴν τράπεζαν πάνθ' ἃ δεῖ
ἔχουσαν, ἤδη κατακλιθεὶς καὶ κοσμίως
ἀριστίσας ἑαυτὸν, ἐντραγὼν, πιὼν,
ἀπέρχετ' οἴκαδ', οὐ καταβαλὼν συμβολάς.
κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω

ἐστρωμένας καὶ τὰς τραπέζας εὐτρεπεῖς
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἐνθάδε σιωπῇ, καὶ ποιήσας εὐσταλῆ
ἐμαυτὸν, ὥστε μὴ 'νοχλεῖν τὸν συμπότην.
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιὼν,
ἀπέρχομ' οἴκαδ', ὥσπερ ὁ Ζεὺς ὁ φίλιος.
ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον ἀεὶ καὶ καλὸν
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.
τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις,
ἐν ἅπασι τοῖς δήμοις θυσίας ποιουμένη,
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐπώποτ' ἀπεκλήρωσεν οὐδὲ παρέλαβεν
εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δυναστῶν γεγονότας,
ἔχοντας οὐσίας, καλῶς βεβιωκότας.
εἶθ' ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς, παρασίτους ἑλόμενοι
τρέφειν, παρεκαλοῦν οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους
καὶ πάντ' ἐπαινεῖν.

### ΑΔΗΛΩΙ.

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονὶ
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποιεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ κακὴν μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

## DIPHILUS.

### ΕΜΠΟΡΩΙ.

Α. ΝΟΜΙΜΟΝ τοῦτ' ἔστι, βέλτιστ', ἐνθάδε
Κορινθίοισιν, ἄν τιν' ὀψωνοῦντ' ἀεὶ

λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν, πόθεν
ζῇ, καὶ τί ποιῶν· κἂν μὲν οὐσίαν ἔχῃ,
ἧς αἱ πρόσοδοι λύουσι τἀναλώματα,
ἐᾶν ἀπολαύειν τοῦτον ἤδη τὸν βίον·
ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,
ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι·
ὃς ἂν δὲ μὴ πείθητ', ἐπέβαλον ζημίαν.
ἐὰν δὲ μήδ' ὁτιοῦν ἔχων ζῇ πολυτελῶς,
τῷ δημίῳ παρέδωκαν αὐτόν. B. Ἡράκλεις.
A. οὐκ ἐνδέχεται γὰρ ζῆν ἄνευ κακοῦ τινος
τοῦτον· συνιῇς; ἀλλ' ἀναγκαίως ἔχει
ἢ λωποδυτεῖν τὰς νύκτας, ἢ τοιχωρυχεῖν,
ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισιν,
ἢ συκοφαντεῖν κατ' ἀγορὰν, ἢ μαρτυρεῖν
ψευδῆ· τὸ τοιοῦτον ἐκκαθαίρομεν γένος.
B. ὀρθῶς γε, νὴ Δί'· ἀλλὰ δὴ τί τοῦτ' ἐμοί;
A. ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας
οὐχὶ μετρίως, βέλτιστέ, σ', ἀλλ' ὑπερηφάνως.
οὐκ ἔστιν ἰχθυηρὸν ὑπὸ σοῦ μεταλαβεῖν.
ξυνῆκας ἡμῶν ἐς τὰ λάχανα τὴν πόλιν.
περὶ τῶν σελίνων μαχόμεθ', ὥσπερ Ἰσθμίοις.
λαγώς τις εἰσελήλυθ'· εὐθὺς ἥρπακας·
πέρδικα δ', ἢ κίχλην γε, νὴ Δί', οὐκ ἔτι
ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν.
τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

# EPICHARMUS.

## ΠΛΟΥΤΩΙ.

ΣΥΝΔΕΙΠΝΕΩ τῷ λῶντι, καλέσαι δεῖ μόνον,
καὶ τῷ γα μὴ λιῶντι, κωὐδὲν δεῖ καλεῖν.
τηνεὶ δὲ χαρίεις τ' εἰμὶ καὶ ποιέω πολὺν
γέλωτα καὶ τὸν ἑστιῶντ' ἐπαινέω.

καί κά τις ἀντίον τι λῇ τήνῳ λέγειν,
τήνῳ κυδάζομαί τε κἀπωνηχθόμαν.
κἤπειτα πολλὰ καταφαγὼν, πόλλ' ἐμπιὼν,
ἄπειμι. λύχνον δ' οὐχ ὁ παῖς μοι συμφέρει·
ἕρπω δ' ὀλισθάζων τε καὶ κατάσκοτος
ἔραμος. αἴ κα δ' ἐντύχω τοῖς περιπόλοις,
τούτοις ἀγαθὸν ἐπιλέγω τοῖς θεοῖς ὅτι
οὐ λῶντι παίων, ἀλλὰ μαστιγῶντί με.
ἐπεὶ δέ χ' ἥκω οἴκαδις καταφθαρεὶς,
ἄστρωτος εὕδω· καὶ τὰ μὲν πρῶτ' οὐ κοῶ,
ἅς κά μ' ἄκρατος οἶνος ἀμφέπῃ φρένας.

# EUBULUS.

## ΔΙΟΝΥΣΩΙ.

ΤΡΕΙΣ γὰρ μόνους κρατῆρας ἐγκεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
ὃν πρῶτον ἐκπίνουσι· τὸν δὲ δεύτερον
ἔρωτος, ἡδονῆς τε· τὸν τρίτον δ' ὕπνου,
ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι
οἴκαδε βαδίζουσ'· ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερος ἔστ', ἀλλ' ὕβρεος· ὁ δὲ πέμπτος, βοῆς.
ἕκτος δὲ, κώμων· ἕβδομος δ', ὑπωπίων.
ὁ δ' ὄγδοος, κλητῆρος· ὁ δ' ἔνατος, χολῆς.
δέκατος δὲ, μανίας, ὥστε καὶ βάλλειν ποιεῖ.
πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς,
ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

## ΚΑΜΠΥΛΙΩΝΙ.

Τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας ἔρωθ' ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.

ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥᾴδιος
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
βαρὺς δὲ κομιδῇ· πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα; λῆρον ἂν φήσειέ τις.

## ΧΡΥΣΙΛΛΑΙ.

Κακὸς
κακῶς ἀπόλοιθ' ὅστις γυναῖκα δεύτερον
ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς.
ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,
ὁ δ' οἷον ἦν γυνὴ κακὸν πεπυσμένος.
ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγὼ κακῶς ποτε
ἐρῶ γυναῖκας; νὴ Δί', ἀπολοίμην ἄρα,
πάντων ἄριστον κτημάτων. εἰ δ' ἐγένετο
κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ
μέγα πρᾶγμ'· ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή;
Ἄλκηστιν ἀντέθηκα χρηστήν· ἀλλ' ἴσως
Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλά, νὴ Δία,
χρηστή τις ἦν μέντοι—τίς; οἴμοι δείλαιος·
ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.

# EUPHRON.

## ΑΔΕΛΦΟΙΣ.

ΠΟΛΛΩΝ μαθητῶν γενομένων ἐμοί, Λύκε,
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν,
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐχ ὅλοις δέκα μησί, πολὺ νεώτατος.
Ἄγις Ῥόδιος ὤπτηκεν ἰχθὺν μόνος ἄκρως·
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς·
θρῖον τὸ λευκὸν οὐξ Ἀθηνῶν Χαριάδης·
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ·

ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν·
ἀπὸ συμβολῶν συνάγουσιν Ἀρίστων πόρους.
οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ δεύτεροι σοφοί.
ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα
εὗρον τὸ κλέπτειν πρῶτος, ὥστε μηδένα
μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν.
ὑπ' ἐμοῦ δ' ὁρῶν σὺ τοῦτο προκατειλημμένον,
ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ' ἐστὶ σόν.
πέμπτην ἔθυαν ἡμέραν οἱ Τήνιοι,
πολιοὶ γέροντες, πλοῦν πολὺν πεπλευκότες,
λεπτὸν ἔριφον καὶ μικρόν. οὐκ ἦν ἐκφορὰ
Λύκῳ κρεῶν τότ' οὐδὲ τῷ διδασκάλῳ.
ἑτέρους πορίσασθαι δύ' ἐρίφους ἠνάγκασας·
τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπουμένων
καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν
ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν.
πολὺν ἐποίησας θόρυβον. οὐκ ἔχει νεφρὸν,
ἔλεγον. ἔκυπτον οἱ παρόντες ἀποβολῇ,
ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάλιν
τὴν καρδίαν εἶδόν σε καταπίνοντ' ἐγώ.
πάλαι μέγας εἶ, γίγνωσκε· τοῦ γὰρ μὴ χανεῖν
λύκον διὰ κενῆς σὺ μάνος εὕρηκας τέχνην.

---

# EUPOLIS.

## ΔΗΜΟΙΣ.

ΚΑΙ μὴν ἐγὼ, πολλῶν παρόντων, οὐκ ἔχω τί λέξω,
οὕτω σφόδρ' ἀλγῶ, τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν, οἱ γέροντες,
ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ γένει τε πρῶτοι,
οἷς ὡσπερεὶ θεοῖσιν ηὐχόμεσθα· καὶ γὰρ ἦσαν.
ὥστ' ἀσφαλῶς ἐπράττομεν· νυνὶ δ' ὅποι τύχοιμεν,
στρατευόμεσθ' αἱρούμενοι καθάρματα στρατηγούς.

## ΚΟΛΑΞΙ.

Ἀλλὰ δίαιταν ἣν ἔχουσ' οἱ κόλακες, πρὸς ὑμᾶς
λέξομεν· ἀλλ' ἀκούσαθ' ὡς ἐσμὲν ἅπαντα κομψοὶ
ἄνδρες· ὅτοισι πρῶτα μὲν παῖς ἀκόλουθός ἐστιν
ἀλλότριος τὰ πολλά· μικρὸν δέ τι κἀμὸν αὐτοῦ.
ἱματίω δέ μοι δύ' ἐστὸν χαρίεντε τούτω,
οἷν μεταλαμβάνων ἀεὶ θάτερον ἐξελαύνω
εἰς ἀγοράν· ἐκεῖ δ' ἐπειδὰν κατίδω τιν' ἄνδρα
ἠλίθιον, πλουτοῦντα δ', εὐθὺς περὶ τοῦτον εἰμί.
κἄν τι τύχῃ λέγων ὁ πλουτάξ, πάνυ τοῦτ' ἐπαινῶ,
καὶ καταπλήττομαι δοκῶν τοῖσι λόγοισι χαίρειν.
εἶτ' ἐπὶ δεῖπνον ἐρχόμεσθ', ἄλλυδις ἄλλος ἡμῶν,
μᾶζαν ἐπ' ἀλλόφυλον· οὗ δεῖ χαρίεντα πολλὰ
τὸν κόλακ' εὐθέως λέγειν, ἢ φέρεται θύραζε.
οἶδα δ' Ἀκέστορ' αὐτὸ τὸν στιγματίαν παθόντα·
σκῶμμα γὰρ εἶπ' ἀσελγές· εἶτ' αὐτὸν ὁ παῖς θύραζε
ἐξαγαγὼν ἔχοντα κλοιὸν παρέδωκεν Οἰνεῖ.

# MACHON.

## ΑΔΗΛΩΙ.

ὙΠΕΡΒΟΛΗΙ λέγουσι τὸν Φιλόξενον,
τῶν διθυράμβων τὸν ποιητήν, γεγονέναι
ὀψοφάγον. εἶτα πουλύποδα πηχῶν δυοῖν
ἐν ταῖς Συρακούσαις ποτ' αὐτὸν ἀγοράσαι,
καὶ σκευάσαντα καταφαγεῖν ὅλον σχεδὸν,
πλὴν τῆς κεφαλῆς. ἁλόντα δ' ὑπὸ δυσπεψίας
κακῶς ἔχειν σφόδρ'. εἶτα δ' ἰατροῦ τινος
πρὸς αὐτὸν εἰσελθόντος, ὃς φαύλως πάνυ
ὁρῶν φερόμενον αὐτὸν εἶπεν, Εἴ τί σοι
ἀνοικονόμητόν ἐστι, διατίθου ταχὺ,
Φιλόξεν'· ἀποθανεῖ γὰρ ὥρας ἑβδόμης.
κἀκεῖνος εἶπε, Τέλος ἔχει τὰ πάντα μοι,

ἰατρὲ, φησὶ, καὶ δεδιῴκηται πάλαι.
τοὺς διθυράμβους σὺν θεοῖς καταλιμπάνω
ἠνδρωμένους καὶ πάντας ἐστεφανωμένους·
οὓς ἀνατίθημι ταῖς ἐμαυτοῦ συντρόφοις
Μούσαις, Ἀφροδίτην καὶ Διόνυσον ἐπιτρόπους.
ταῦθ' αἱ διαθῆκαι διασαφοῦσιν. ἀλλ' ἐπεὶ
ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ ἐᾷ
οὐκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμὸν ἀναβοᾷ,
καλεῖ δὲ μοῖρα νύχιος, ἧς κλύειν χρεὼν,
ἵν' ἔχων ἀποτρέχω πάντα τἀμαυτοῦ κάτω,
τοῦ πουλύποδός μοι τὸ κατάλοιπον ἀπόδοτε.

## MENANDER.

### ΔΥΣΚΟΛΩΙ.

ΠΕΡΙ χρημάτων λαλεῖς ἀβεβαίου πράγματος.
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
εἰς πάντα τὸν χρόνον, φύλαττε, μηδενὶ
ἄλλῳ μεταδιδοὺς, αὐτὸς ὢν δὲ κύριος.
ἃ δὲ μὴ σεαυτοῦ, τῆς Τύχης δὲ πάντ' ἔχεις,
τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί;
αὐτὴ γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ
παρελομένη σου πάντα προσθήσει πάλιν.
διόπερ ἐγώ σέ φημι δεῖν ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ,
αὐτὸν ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν
ὡς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ· τοῦτο γὰρ
ἀθάνατόν ἐστι, κἄν ποτε πταίσας τύχῃς,
ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.

### ΜΙΣΟΓΥΝΗΙ.

Σ. πρὸς τὸ πρᾶγμ' ἔχω
κακῶς. Α. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις·
τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε

ὁρᾷς ἐν αὐτῷ· τὰ δ' ἀγαθ' οὐκ ἐπιβλέπεις.
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.
γυνὴ πολυτελὴς ἐστ' ὀχληρὸν, οὐδ' ἐᾷ,
ζῆν τὸν λαβόνθ', ὡς βούλετ'· ἀλλ' ἔνεστί τι
ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες· ἐλθόντ' ἐς νόσον
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς.
ἀτυχοῦντι συμπαρέμεινεν· ἀποθανόντα τε
ἔθαψε· περιέστειλεν οἰκείως· ὅρα
ἐς ταῦθ', ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· ἂν δ' ἐκλέγῃς
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς,
τῶν προσδοκωμένων ὀδυνήσει διὰ τέλους.

## ΥΠΟΒΟΛΙΜΑΙΩΙ.

Τοῦτον εὐτυχέστατον λέγω,
ὅστις θεωρήσας ἀλύπως, Παρμένων,
τὰ σεμνὰ ταῦτ', ἀπῆλθεν, ὅθεν ἦλθεν ταχύ·
τὸν ἥλιον τὸν κοινὸν, ἄστρ', ὕδωρ, νέφη,
πῦρ· ταῦτα, κἂν ἑκατὸν ἔτη βιῷς ἔτι,
ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους·
σεμνότερα τούτων ἕτερα δ' οὐκ ὄψει ποτέ.
πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον,
ὅν φημι, τοῦτον, ἢ 'πιδημίαν, ἐν ᾧ
ὄχλος, ἀγορὰ, κλέπται, κυβεῖαι, διατριβαί.
ἂν πρῶτος ἀπίῃς, καταλύσεις, βελτίονα
ἐφόδι' ἔχων ἀπῆλθες, ἐχθρὸς οὐδενί.
ὁ προσδιατρίβων δὲ κοπιάσας ἀπώλεσε.
κακῶς τε γηρῶν, ἐνδεής του γίγνεται,
ῥεμβόμενος ἐχθροὺς ηὗρ', ἐπεβουλεύθη ποθέν·
οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν ἐς χρόνον.

## ΑΣΠΙΔΙ.

Ὦ τρισάθλιοι, τί πλέον ἔχουσι τῶν ἄλλων; βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι.

εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν;

## ΨΕΥΔΗΡΑΚΛΕΙ.

Μάγειρ', ἀηδὴς μοι δοκεῖς εἶναι σφόδρα.
πόσας τραπέζας μέλλομεν ποιεῖν τρίτον
ἤδη μ' ἐρωτᾷς. χοιρίδιον ἓν θύομεν,
ὀκτὼ ποιήσοντες τραπέζας δ' ἢ μίαν,
τί σοι διαφέρει; τοῦτο παράθες σημίαν.
οὐκ ἔστι κανδύλους ποιεῖν οὐδ' οἷα σὺ
εἴωθας εἰς ταυτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ᾠά· πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς·
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρεάδι' ὀπτᾷ καὶ κίχλας τραγήματα.
ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται,
μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν
δειπνεῖ μεμιγμένα τὰ μελίπηκτα ταῖς κίχλαις.

## ΑΥΛΗΤΡΙΔΙ.

A. οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον. γεγάμηκα γὰρ
αὐτὸς—διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.
B. δεδογμένον τὸ πρᾶγμ'. ἀνεῤῥίφθω κύβος.
A. πέραινε· σωθείης δὲ νῦν. ἀληθινὸν
εἰς πέλαγος αὐτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
οὐ Λιβυκὸν, οὐδ' Αἰγαῖον, οὐδ' Ἰωνικὸν,
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.

## ΑΔΗΛΩΙ.

Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα.

οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τιτθὴ δὲ τίς·
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' ἐξετάζειν μήτ' ἰδεῖν.
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι, δοκιμαστὴς ἴδῃ,
ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται,
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσασθαι μηδὲν, ἀλλ' εἰκῆ λαβεῖν
ἀγνώμον', ὀργίλην, χαλεπὴν, ἐὰν τύχῃ,
λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην. οἱ βουλόμενοι ταύτην λαβεῖν,
λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν
λήψεσθ', ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν.
ἀλλ' εὐτυχὴς ἔσθ' ὁ μετριώτατον λαβών.

## ΑΔΗΛΩΙ.

Ἀπολεῖ με τὸ γένος· μὴ λέγ', εἰ φιλεῖς ἐμὲ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπαρχῇ μηδὲν οἰκεῖον προσὸν,
ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα,
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους, ὅσοι.
οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν, οὐδ' εἰπεῖν, ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι τούτους, διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθὰ,
κἂν Αἰθίοψ ᾖ, μῆτερ, ἐστὶν εὐγενής.
Σκύθης τίς ὄλεθρος· ὁ δ' Ἀνάχαρσις οὐ Σκύθης;

## ΑΔΗΛΩΙ.

Εἴ τις προσελθών μοι Θεῶν λέγοι, Κράτων,
ἐπὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσει·

ἔσει δ' ὅτι ἂν βούλει, κύων, πρόβατον, τράγος,
ἄνθρωπος, ἵππος· δὶς βιῶναι γάρ σε δεῖ·
εἱμαρμένον τοῦτ' ἐστίν· ὅτι βούλει δ' ἑλοῦ·
ἅπαντα μᾶλλον, εὐθὺς εἰπεῖν ἂν δοκῶ,
ποίει με, πλὴν ἄνθρωπον· ἀδίκως εὐτυχεῖ,
κακῶς τε πράττει τοῦτο τὸ ζῶον μόνον.
ὁ κράτιστος ἵππος ἐπιμελεστέραν ἔχει
ἑτέρου θεραπείαν. ἀγαθὸς ἂν γένῃ κύων,
ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς πολύ.
ἀλεκτρύων γενναῖος ἐν ἑτέρᾳ τροφῇ
ἐστίν· ὁ δ' ἀγεννὴς καὶ δέδιε τὸν κρείττονα.
ἄνθρωπος ἐὰν ᾖ χρηστὸς, εὐγενὴς, σφόδρα
γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει.
πράττει δ' ὁ κόλαξ ἄριστα πάντων, δεύτερα
ὁ συκοφάντης, ὁ κακοήθης τρίτα λέγει.
ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾷν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.

## ΑΔΗΛΩΙ.

Ὅταν εἰδέναι θέλῃς σεαυτὸν, ὅστις εἶ,
ἔμβλεψον ἐς τὰ μνήμαθ', ὡς ὁδοιπορεῖς·
ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν,
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν,
αὐτῶν τε δόξῃ, τῷ τε κάλλει σωμάτων·
ἀλλ' οὐδὲν αὐτῶν τῶνδ' ἐπήρκεσεν χρόνον,
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦθ' ὁρῶν γίγνωσκε σαυτὸν ὅστις εἶ.

## ΑΔΗΛΩΙ.

Μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς, ὅτι
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πάντα τὰ λυμαινόμενομεν' ὅσ' ἐστὶν ἔνδοθεν.
οἷον, ὁ μὲν ἰὸς, ἂν σκοπῇς, τὸ σιδήριον·

τὸ δ' ἱμάτιον, οἱ σῆτες· ὁ δὲ θρὶψ, τὸ ξύλον.
ὁ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθόνος,
φθισικὸν πεποίηκε, καὶ ποιήσει, καὶ ποιεῖ,
ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις.

## ΑΔΗΛΩΙ.

Ἅπαντα τὰ ζῶ' ἔστι μακαριώτατα,
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίγνεται·
ἃ δ' ἡ φύσις δέδωκεν αὐτῷ, ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.
λυπούμεθ', ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς,
ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα
φοβούμεθ'· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

## ΑΔΗΛΩΙ.

Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει,
ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας·
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν,
εὔξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρὸς, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταὶ, μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

## ΑΔΗΛΩΙ.

Εἴπερ τὸν ἀδικοῦντ' ἀσμενῶς ἠμύνετο

ἕκαστος ἡμῶν, καὶ ξυνηγωνίζετο,
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονὸς
ἀδίκημα, καὶ ξυνέπραττον ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπιπλεῖον τὸ κακὸν ἡμῖν ηὔξετο
τὸ τῶν πονηρῶν· ἀλλὰ παρατηρούμενοι,
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας,
ἦτοι σπάνιοι σφόδρ' ἂν ἦσαν, ἢ πεπαυμένοι.

## ΑΔΗΛΩΙ.

Τἀργύριον εἶναι, μειράκιον, σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασκεῖν δυνατὸν, ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος δ' ἄλλου τινός.
ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν ξυναγάγῃς
τὰ Ταντάλου τάλαντ' ἐκεῖνα λεγόμενα.
ἀλλ' ἂν ἀποθάνῃς, ταῦτα καταλείψεις τισίν.
τί οὖν λέγω; μηδ' αὐτὸς, εἰ σφόδρ' εὐπορεῖς,
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δέ γ' εὐτυχεῖν ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

# MNESIMACHUS.

## ΦΙΛΙΠΠΩΙ.

ἎΡ' οἶσθα σὺ
ὅτιη πρὸς ἄνδρας ἐστί σοι μαχητέον,
οἱ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα,
ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;
ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα
ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικὰς
ὥσπερ ἐρεβίνθους, δορατίων τε λείψανα
κατεαγότ'· ἀσπίδας δὲ, προσκεφάλαια καὶ

θώρακας ἔχομεν· πρὸς ποδῶν δὲ σφενδόνας
καὶ τόξα· καταπέλταισι δ' ἐστεφανώμεθα.

---

# NICOMACHUS.

## ΕΙΛΕΙΘΥΙΑΙ.

ὙΠΟΔΕΙΚΝΥΕΙΣ μὲν ἦθος ἀστεῖον πάνυ
καὶ πρᾷον, ὀλίγωρον δὲ πεποίηκάς τι. B. πῶς;
A. ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας.
ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων
οὕτω τ' ἐμισθώσω με; B. μὰ Δί', ἐγὼ μὲν οὔ.
A. ἦ μὴν ἴσως ὅσον μαγείρου διαφέρει
μάγειρος οὐκ οἶσθ'. B. εἴσομαι δέ γ', ἢν λέγῃς·
τὸ γὰρ παραλαβόντ' ὄψον ἠγορασμένον
πότερ' ἀποδοῦναι σκευάσαντα μουσικῶς
διακόνου 'στ' οὐ τοῦ τυχόντος; A. Ἡράκλεις·
ὁ μάγειρός ἐσθ' ὁ τέλειος ἑτέρα διάθεσις.
πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
ταύταις προσελθεῖν εὐθὺς, ἀλλ' ἔμπροσθε δεῖ
ζωγραφίας ἧφθαι. ταὐτὰ καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας·
ὧν εἰδέναι σοι κρεῖττον ἦν μοι πρὶν λαλεῖν·
ἀστρολογικὴν, γεωμετρικὴν, ἰατρικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τέχνας
ἐντεῦθεν εἴσει, παρακολουθήσεις χρόνοις,
πότ' ἄωρος ἐσθ' ἕκαστος, ἢ πόθ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·
ἐνίοτε κρείττων γίγνεται θύννου βόαξ.
B. ἔστω. γεωμετρικὴ δὲ καὶ σοὶ πρᾶγμα τί;
A. τοὐπτάνιον ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα.
τοῦτο διελέσθαι, καὶ τόπον λαβόνθ' ἕνα
μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐνταῦθ', ἐστὶ μετενηνεγμένα.

B. οὗτος, πέπεισμαι· καὶ τὰ λοιπὰ μὴ λάλει.
περὶ τῆς ἰατρικῆς δέ; Α. τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἐστιν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τἀλλότρια γίγνετ' ὀξύχειρ κοὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν. μεταφορὰ δ' ἐστὶν τέχνης
ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν·
παρὰ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται·
ἀριθμῷ τὸ πλῆθος εἰδέναι, μαγειρικῆς.
οὐδεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται·
B. μικρὰ διάκουσον ἐν μέρει κἀμοῦ. Α. λέγε.
B. σὺ μηδὲν ἐνόχλει μήτε σαυτὸν μήτ' ἐμέ,
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

## PHERECRATES.

### ΜΕΤΑΛΛΕΥΣΙ.

ΠΛΟΥΤΩΙ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,
ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα.
ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ
διὰ τῶν στενωπῶν τονθολυγοῦντες ἔῤῥεον
αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη,
ὥστ' εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ' ἀντ' ὀστράκων.
καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα,
καταχυσματίοισι παντοδαποῖσιν εὐτρεπῆ·
σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πινακίσκοις καὶ διέφθ' ἀκροκώλια
ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός,
καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα
χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.

παρῆν δὲ χόνδρος γάλακτι κατανενιμμένος
ἐν καταχύτλοις λεκάναισι καὶ πύου τόμοι.
B. οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι,
παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν τάρταρον.
A. τί δῆτα λέξεις τἀπίλοιπ' ἢν περ πύθῃ;
ὀπταὶ κίχλαι δ' ἐπὶ τοῖσδ' ἀνάβραστ' ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν,
ὑπὸ μυῤῥίναισι κἀνεμώναις κεχυμέναι.
τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.
κόραι δ' ἐν ἀμπεχόναις τριχάπτοις ἀρτίως
ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι
πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
καὶ τῶνδ' ἕκαστον εἰ φάγοι τις ἢ πίοι,
διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

### ΑΔΗΛΩΙ.

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῇ λυπηρὸν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.
εἰκῇ μ' ἐπῆρας ὄντα τηλικουτονὶ,
πολλοῖς ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ, ὦνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν· ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

## PHILEMON.

### ΕΦΗΒΩΙ.

ΟΥ τοῖς πλέουσι τὴν θάλατταν γίγνεται
μόνοισι χειμὼν, ὡς ἔοικεν, ἀλλὰ καὶ

B. οὗτος, πέπεισμαι· καὶ τὰ λοιπὰ μὴ λάλει.
περὶ τῆς ἰατρικῆς δέ; A. τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἔστιν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τἀλλότρια γίγνετ' ὀξύχειρ κοὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν. μεταφορὰ δ' ἐστὶν τέχνης
ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν·
παρὰ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται·
ἀριθμῷ τὸ πλῆθος εἰδέναι, μαγειρικῆς.
οὐδεὶς ἑτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται·
B. μικρὰ διάκουσον ἐν μέρει κἀμοῦ. A. λέγε.
B. σὺ μηδὲν ἐνόχλει μήτε σαυτὸν μήτ' ἐμέ,
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

# PHERECRATES.

## ΜΕΤΑΛΛΕΥΣΙ.

ΠΛΟΥΤΩΙ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,
ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα.
ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ
διὰ τῶν στενωπῶν τονθολυγοῦντες ἔρρεον
αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη,
ὥστ' εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ' ἀντ' ὀστράκων.
καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα,
καταχυσματίοισι παντοδαποῖσιν εὐτρεπῆ·
σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πινακίσκοις καὶ διέφθ' ἀκροκώλια
ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός,
καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα
χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.

παρῆν δὲ χόνδρος γάλακτι κατανενιμμένος
ἐν καταχύτλοις λεκάναισι καὶ πύου τόμοι.
B. οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι,
παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν τάρταρον.
A. τί δῆτα λέξεις τἀπίλοιπ' ἤν περ πύθῃ;
ὀπταὶ κίχλαι δ' ἐπὶ τοῖσδ' ἀνάβραστ' ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν,
ὑπὸ μυῤῥίναισι κἀνεμώναις κεχυμέναι.
τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.
κόραι δ' ἐν ἀμπεχόναις τριχάπτοις ἀρτίως
ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι
πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
καὶ τῶνδ' ἕκαστον εἰ φάγοι τις ἢ πίοι,
διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

### ΑΔΗΛΩΙ.

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῇ λυπηρὸν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.
εἰκῆ μ' ἐπῆρας ὄντα τηλικουτονὶ,
πολλοῖς ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ, ὦνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν· ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

## PHILEMON.

### ΕΦΗΒΩΙ.

ΟΥ τοῖς πλέουσι τὴν θάλατταν γίγνεται
μόνοισι χειμὼν, ὡς ἔοικεν, ἀλλὰ καὶ

τοῖς περιπατοῦσι που, Λάχης, ἐν τῇ στοᾷ,
καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις.
χ' οἱ μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν,
ἢ νύκτα χειμασθέντες, εἶτ' ἐκ τοῦ κακοῦ
σωτηρίας ἐπέτυχον· ἢ τὸ πνεῦμα γὰρ
αὐτοὺς τὸ σῶζον ἦλθεν, ἢ 'φάνη λιμήν.
ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ ἐς ἡμέραν
χειμάζομαι μίαν γάρ, εἰς τὸ ζῆν δ' ὅλον.
ἀεὶ τὸ λυπεῖσθαι δὲ μεῖζον γίγνεται.

## ΠΥΡΡΩΙ.

Οἱ Φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦθ' ἑαυτοῖς πολὺς ἀναλοῦται χρόνος
τί ἐστιν ἀγαθόν· κοὐδὲ εἷς εὕρηκέ πω
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ
πλέκουσι πάντα μᾶλλον, ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ
νῦν εὗρον· εἰρήνη 'στίν. ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου Θεοῦ.
γάμους, ἑορτάς, ξυγγενεῖς, παῖδας, φίλους,
πλοῦτον, ὑγιείαν, σῖτον, οἶνον, ἡδονὴν
αὕτη δίδωσι. ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

## ΣΤΡΑΤΙΩΤΗΙ.

Ὡς ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολόντι τοὔψον ὡς ἐσκεύασα.
νὴ τὴν Ἀθηνᾶν, ἡδύ γ' ἔστ' εὐημερεῖν
ἐν ἅπασιν. ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι,
οἷον παρατέθεικ', οὐ πεφαρμακευμένον
τυροῖσιν, οὐδ' ἄνωθεν ἐξηνθισμένον·
ἀλλ' οἷος ἦν ζῶν, κὠπτὸς ὢν τοιοῦτος ἦν.
οὕτως ἁπαλὸν ἔδωκα καὶ πρᾷον τὸ πῦρ
ὀπτῶν τὸν ἰχθύν, οὐδὲ πιστευθήσομαι

ὅμοιον ἐγένετ' ὄρνις ὁπόταν ἁρπάσῃ
τοῦ καταπιεῖν μεῖζόν τι· περιτρέχει κύκλῳ
τηροῦσα τοῦτο, καταπιεῖν ἐσπούδακεν,
ἕτεραι διώκουσιν δὲ ταύτην· ταυτὸν ἦν.
τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθὼν
τῆς λοπάδος ἀνεπήδησε κᾄφευγεν κύκλῳ
τὴν λοπάδ' ἔχων. ἄλλοι δ' ἐδίωκον κατὰ πόδας.
ἐξῆν ὀλολύζειν· οἱ μὲν ἥρπασάν τι γάρ,
οἱ δ' οὐδέν, οἱ δὲ πάντα. καίτοι παρέλαβον
ἰχθῦς ποταμίους, ἐσθίοντας βόρβορον.
εἰ δ' ἔλαβον ἀρτίως σκάρον, ἢ 'κ τῆς Ἀττικῆς
γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ 'ξ Ἄργους κάπρον,
ἢ 'κ Σικυῶνος τῆς φίλης, ὃν τοῖς θεοῖς
φέρει Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανόν,
ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.
ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκροὺς,
ὅταν μόνον ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

## ΕΠΙΔΙΚΑΖΟΜΕΝΩΙ.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
ἔστ', ἢ δύνασθαι λοιδορούμενον φέρειν,
ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

## ΑΔΗΛΩΙ.

Ὦ Κλέων, παῦσαι φλυαρῶν, ἂν ὀκνῇς τὸ μανθάνειν,
ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσει ποιῶν.
οὔτε γὰρ ναυαγὸς, ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὑτόν· οὔτ' ἀνὴρ πένης γεγὼς,
μὴ οὐ τέχνην μαθὼν, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.
ἀλλὰ χρήματ' ἔστιν ἡμῖν· ἅ γε τάχιστ' ἀπόλλυται,
κτήματ', οἰκίαι· τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον.
κἂν μὲν ὁρμισθῇ τις ἡμῶν ἐς λιμένα τὸν τῆς τύχης,

ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·
ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία,
ἔρανον εἰσοίσουσιν· εὔχου μὴ λαβεῖν πεῖραν φίλων·
εἰ δὲ μὴ, γνώσει σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

## ΑΔΗΛΩΙ.

Μείζω τὰ κακὰ ποιοῦσι πολλοὶ, δέσποτα,
αὐτοὶ δι' αὑτοὺς, ἢ πέφυκε τῇ φύσει.
οἷον, τέθνηκεν υἱὸς, ἢ μήτηρ τινὶ,
ἢ, νὴ Δί', ἄλλων τῶν ἀναγκαίων γέ τις,
εἰ μὲν λαλῇ τοῦτ', ἀπέθαν', ἄνθρωπος γὰρ ἦν,
τοσοῦτο γέγονε τὸ κακὸν, ἡλίκον περ ἦν.
ἐὰν δ', ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
ἀπόλωλ' ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακὰ
πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,
τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

## ΑΔΗΛΩΙ.

Ἀεὶ τὸ πλουτεῖν ξυμφορὰς πολλὰς ἔχει,
φθόνον τ', ἐπήρειάν τε, καὶ μῖσος πολὺ,
πράγματά τε πολλὰ, κἀνοχλήσεις μυρίας,
πράξεις τὲ πολλὰς, συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν,
ἄλλοις καταλείψας ἐς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, κἀμέριμνον ζῇν βίον,
καὶ μήτ' ἔχειν πλοῦτον με, μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

## ΑΔΗΛΩΙ.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ 'δικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,

ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
οὐδ' ὃς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν,
εἶναι δίκαιος, κ' οὐ δοκεῖν εἶναι θέλει.

## ΑΔΗΛΩΙ.

Ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεοὺς,
οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι,
ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν
τῶν συμπεσόντων, τοῦ τε συμβάντος πάθους,
οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν, λίθος.

## ΑΔΗΛΩΙ.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς·
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

## ΑΔΗΛΩΙ.

Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός·
ὧν ἡ φύσις δεῖται γὰρ, ἐπιμελῶς φέρει,
πυροὺς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι.
τὰ δ' ἀργυρώματ' ἐστὶν, ἥ τε πορφύρα,
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ ἐς τὸν βίον.

## ΑΔΗΛΩΙ.

Εἰ τὰ δάκρυ' ἡμῶν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει,
ἐάν τε κλαίῃς, ἄν τε μὴ, πορεύεται.

ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·
ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία,
ἔρανον εἰσοίσουσιν· εὔχου μὴ λαβεῖν πεῖραν φίλων·
εἰ δὲ μὴ, γνώσει σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

## ΑΔΗΛΩΙ.

Μείζω τὰ κακὰ ποιοῦσι πολλοὶ, δέσποτα,
αὐτοὶ δι' αὑτοὺς, ἢ πέφυκε τῇ φύσει.
οἷον, τέθνηκεν υἱὸς, ἢ μήτηρ τινὶ,
ἢ, νὴ Δί', ἄλλων τῶν ἀναγκαίων γέ τις,
εἰ μὲν λαλῇ τοῦτ', ἀπέθαν', ἄνθρωπος γὰρ ἦν,
τοσοῦτο γέγονε τὸ κακὸν, ἡλίκον περ ἦν.
ἐὰν δ', ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
ἀπόλωλ' ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακὰ
πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,
τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

## ΑΔΗΛΩΙ.

'Αεὶ τὸ πλουτεῖν ξυμφορὰς πολλὰς ἔχει,
φθόνον τ', ἐπήρειάν τε, καὶ μῖσος πολὺ,
πράγματά τε πολλὰ, κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς, συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν,
ἄλλοις καταλείψας ἐς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτον με, μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

## ΑΔΗΛΩΙ.

'Ανὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ 'δικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,

ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν,
εἶναι δίκαιος, κ' οὐ δοκεῖν εἶναι θέλει.

## ΑΔΗΛΩΙ.

Ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεοὺς,
οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι,
ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν
τῶν συμπεσόντων, τοῦ τε συμβάντος πάθους,
οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν, λίθος.

## ΑΔΗΛΩΙ.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς·
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

## ΑΔΗΛΩΙ.

Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός·
ὧν ἡ φύσις δεῖται γὰρ, ἐπιμελῶς φέρει,
πυροὺς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι.
τὰ δ' ἀργυρώματ' ἐστὶν, ἥ τε πορφύρα,
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ ἐς τὸν βίον.

## ΑΔΗΛΩΙ.

Εἰ τὰ δάκρυ' ἡμῶν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει,
ἐάν τε κλαίῃς, ἄν τε μὴ, πορεύεται.

τί δὴ ποιεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει,
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.

### ΑΔΗΛΩΙ.

Νὴ τὸν Δία τὸν μέγιστον ᾤμην, Σωσία,
ἐγὼ πρότερον τοὺς μὲν πένητας ζῆν μόνον
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν' εἶναι, καὶ φέρειν εὐθυμίαν.
νυνὶ δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον·
λύπας δ' ἔχοντας μείζονας, τοὺς μείζονας.

### ΑΔΗΛΩΙ.

Τί ποτε Προμηθεὺς, ὃν λέγουσ' ἡμᾶς πλάσαι
καὶ τἄλλα πάντα ζῶα, τοῖς μὲν θηρίοις
ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
ἅπαντες οἱ λέοντες εἰσὶν ἄλκιμοι.
δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί.
οὐκ ἔστ' ἀλώπηξ, ἡ μὲν εἴρων τῇ φύσει,
ἡ δ' αὐθέκαστος· ἀλλ' ἐὰν τρισμυρίας
ἀλώπεκάς τις ξυναγάγοι, μίαν φύσιν
ἀπαξάπασιν ὄψεται, τρόπον θ' ἕνα.
ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμὸν
καθενὸς, τοσούτους ἐστὶ καὶ τρόπους ἰδεῖν.

### ΑΔΗΛΩΙ.

Πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
θησαυρὸν εὑρὼν σήμερόν τις, αὔριον
ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν.

### ΑΔΗΛΩΙ.

Ἐάσαθ' οὕτως ὡς ἔχει. τὸ πῦρ μόνον
ποιεῖτε τοῖς ὀπτοῖσι μήτ' ἀνειμένον·
τὸ γὰρ τοιοῦτ' οὐκ ὀπτὸν, ἀλλ' ἑφθὸν ποιεῖ·
μήτ' ὀξύ· κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ

τοῦτο πάλιν, εἰς τὴν σάρκα δ᾽ οὐκ ἐνδύεται.
μάγειρός ἐστιν οὐκ ἐὰν ζωμήρυσιν
ἔχων τις ἔλθῃ καὶ μάχαιραν πρός τινα,
οὐδ᾽ ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ,
ἀλλ᾽ ἔστι τις φρόνησις ἐν τῷ πράγματι.

# PLATO.

## ΣΥΝΕΞΑΠΑΤΩΝΤΙ.

A. ἈΠΟΛΩΛΕΚΑΣ τὸ μειράκιόν μου παραλαβών,
ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
ἀλλότριον αὐτοῦ, καὶ πότους ἑωθινοὺς
πίνει διὰ σὲ νῦν, πρότερον οὐκ εἰθισμένον.
B. εἶτ᾽ εἰ μεμάθηκε, δέσποτα, ζῆν, ἐγκαλεῖς;
A. ζῆν δὲ τὸ τοιοῦταν; B. ὡς λέγουσιν οἱ σοφοί.
ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθὸν
τὴν ἡδονὴν δήπουθεν· οὐκ ἔστιν δ᾽ ἔχειν
ταύτην ἑτέρωθεν, ἐκ δὲ τοῦ ζῆν δὴ καλῶς
εὔσως ἁπάντας ἢ τυχὸν δώσεις ἐμοί.
A. ἑόρακας οὖν φιλόσοφον, εἰπέ μοι, τινὰ
μεθύοντ᾽, ἐπὶ τούτοις θ᾽ οἷς λέγεις κηλούμενον;
B. ἅπαντας· οἱ γοῦν τὰς ὀφρῦς ἐπηρκότες,
καὶ τὸν φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς, ὥσπερ ἀποδεδρακότα,
οὕτως, ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου,
καὶ τὴν κεφαλὴν ζητοῦσιν ὥσπερ πράγματος,
ὥστ᾽ ἐκπεπλῆχθαι πάντας.

# SIMULUS.

## ΑΔΗΛΩΙ.

ΟΥΤΕ φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ
πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενὶ,
οὔτε πάλι τέχνη μὴ φύσιν κεκτημένη.
τούτων ὁμοίως τοῖν δυοῖν συνηγμένων
εἰς ταυτὸν, ἔτι δεῖ προσλαβεῖν χορηγίαν,
ἔρωτα, μελέτην, καιρὸν, εὐφυῆ χορὸν,
κριτὴν τὸ ῥηθὲν δυνάμενον συναρπάσαι.
ἐν ᾧ γὰρ ἂν τούτων τὶς ἀπολειφθεὶς τύχῃ,
οὐχ ἔρχετ' ἐπὶ τὸ τέρμα τοῦ προκειμένου.
φύσις, θέλησις, ἐπιμέλει', εὐταξία.
σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι
ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ.

# SOTION.

## ΑΔΗΛΩΙ.

ΤΙ ταῦτα ληρεῖς φληναφῶν ἄνω κάτω
Λύκειον, Ἀκαδήμειαν, Ὠιδείου πύλας,
λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
πίνωμεν, ἐμπίνωμεν, ὦ Σίκων, Σίκων,
χαίρωμεν ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν.
τύρβαζε, Μάνη. γαστρὸς οὐδὲν ἥδιον.
αὕτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων·
ψύξει σε δαίμων τῷ πεπρωμένῳ χρόνῳ·
ἕξεις δ' ὅσ' ἂν φάγῃς τε καὶ πίῃς μόνα·
σποδοὶ δὲ τἄλλα Περικλέης, Κόδρος, Κίμων.

# TIMOCLES.

## ΔΙΟΝΥΣΙΑΖΟΥΣΑΙΣ.

Ὦ ΤΑΝ, ἄκουσον ἥν τί σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας· ὁ μὲν γὰρ ὢν πένης,
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, Ἀλκμαίων' ἐσκέψατο.
ὀφθαλμιᾷ τις; εἰσὶ Φινεῖδαι τυφλοί·
τέθνηκέ τῳ παῖς; ἡ Νιόβη κεκούφικε·
χωλός τις ἐστι; τὸν Φιλοκτήτην ὁρᾷ·
γέρων τις ἀτυχεῖ; κατέμαθεν τὸν Οἰνέα·
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὸς αὑτοῦ ξυμφορὰς ἧττον στένει.

# XENARCHUS.

## ΠΟΡΦΥΡΑΙ.

ΟΙ μὲν ποιηταὶ λῆρός εἰσιν· οὐδὲ ἓν
καινὸν γὰρ εὑρίσκουσιν, ἀλλὰ μεταφέρει
ἕκαστος αὐτῶν ταῦτ' ἄνω τε καὶ κάτω.
τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
οὐκ ἔστιν οὐδὲν οὐδὲ μᾶλλον ἀνόσιον.

ἐπεὶ γὰρ αὐτοῖς οὐκ ἔτ' ἔστ' ἐξουσία
ῥαίνειν· ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ·
εἷς τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
ξηραινομένους ὡς εἶδε τοὺς ἰχθῦς, μάχην
ἐποίησ' ἐν αὐτοῖς ἐξεπίτηδες εὖ πάνυ.
ἦσαν δὲ πληγαὶ, καιρίαν δ' εἰληφέναι
δόξας καταπίπτει καὶ λιποψυχεῖν δοκῶν
ἔκειτο μετὰ τῶν ἰχθύων. βοᾷ δέ τις,
ὕδωρ ὕδωρ· ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
τῶν ὁμοτέχνων τις τοῦ μὲν ἀκαρῆ παντελῶς
κατέχεε, κατὰ τῶν ἰχθύων δ' ἀπαξάπαν.
εἴποις γ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

# POETÆ BUCOLICI.

**THEOCRITUS**, FLOR. CCLXXX. ANNO ANTE CHRISTUM.

**BION**, FLOR. CCC. ANNO ANTE CHRISTUM.

**MOSCHUS**, INCERTA ÆTAS.

---

THEOCRITUS.
IDYLL. I. II. III. VI. VII. IX. X. XI. XV. XVI. XVII. XIX. XXI. XXII. XXIV. XXVI.

BION.
IDYLL. II. III. V. VI. IX.

MOSCHUS.
IDYLL. I. II. III.

# THEOCRITUS.

## Idyll. I.

## ΘΥΡΣΙΣ, Η ΩΔΗ.

### ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ ΚΑΙ ΑΙΠΟΛΟΣ.

ΑΔΥ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὺ καταῤῥεῖ
ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

ἅδιον, ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
αἴκα ταὶ Μῶσαι τὰν οἴϊδα δῶρον ἄγωνται,
ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξῇ.

ΘΥΡΣΙΣ.

λῇς ποτὶ τᾶν νυμφᾶν, λῇς, αἰπόλε, τᾷδε καθίξας,
ἐς τὸ κάταντες τοῦτο γεώλοφον, αἵ τε μυρῖκαι,
συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τᾷδε νομευσῶ.

ΑΙΠΟΛΟΣ.

οὐ θέμις, ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται· ἐντὶ δὲ πικρὸς,
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
ἀλλὰ, τὺ γὰρ δὴ, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἶδες,
καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες· αἰ δέ κ' ἀείσῃς,

ὥς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ, δύ᾽ ἔχοισ᾽ ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας·
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ᾽ αὐτὸν
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ, ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ᾽ ἐπέεσσι· τὰ δ᾽ οὐ φρενὸς ἅπτεται αὐτᾶς·
τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
λεπρὰς, ἐφ᾽ ᾆ σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς·
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
αἱ δέ οἱ ᾠδήκαντι κατ᾽ αὐχένα πάντοθεν ἶνες,
καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἄβας.
τυτθὸν δ᾽ ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος,
πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά·
τὰν ὀλίγος τις κῶρος ἐφ᾽ αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ μιν δύ᾽ ἀλώπεκες· ἁ μὲν, ἀν᾽ ὄρχως
φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ᾽ ἐπὶ πήραν
πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνάσειν
φατὶ, πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ᾽ ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας,
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾶ δ᾽ ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
τῶ μὲν, ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ᾽ ἔδωκα
ὦνον, καὶ τυρῶντα μέγαν λευκοῖο γάλακτος·
οὐδ᾽ ἔτι πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ᾽ ἔτι κεῖται
ἄχραντον, τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴκέν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔ τοι τὶ φθονέω· πόταγ᾽ ὦ 'γαθέ· τὰν γὰρ ἀοιδὰν

οὔτι πα εἰς Ἀΐδαν γε τὸν ἐκλελαθόντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡ'ξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά.
πᾷ πόκ' ἄρ' ἦθ' ὅκα Δάφνις ἐτάκετο, πᾷ πόκα νύμφαι;
ἦ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἦ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὠ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δέ, Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὦ 'γαθέ, τόσσον ἔρασσαι;
ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λάθρια μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·
κῆπε, Τὺ θὴν τὸν Ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν·
ἆρ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
τὰνδ' ἄρα χὠ Δάφνις ποταμείβετο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
ἤδη γὰρ φράσδει πάνθ' ἅλιον ἄμμι δεδύκειν·
Δάφνις κεὶν ἀΐδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα· χαῖρ' Ἀρέθοισα,
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ·
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ὦ Πὰν, Πὰν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,

ὡς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ἆσας ἐρίσδων,
αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ, δύ' ἔχοισ' ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας·
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ, ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
λεπρὰς, ἐφ' ᾇ σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς·
φαίης κεν γυίων νὶν ὅσον σθένος ἐλλοπιεύειν·
αἱ δέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος,
πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά·
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν, ἀν' ὄρχως
φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ' ἐπὶ πήραν
πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνάσειν
φατὶ, πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας,
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾶ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
τῶ μὲν, ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
ὦνον, καὶ τυρῶντα μέγαν λευκοῖο γάλακτος·
οὐδ' ἔτι πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
ἄχραντον, τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴκέν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔ τοι τὶ φθονέω· πόταγ' ὦ 'γαθέ· τὰν γὰρ ἀοιδὰν

οὔτι πα εἰς Ἀΐδαν γε τὸν ἐκλελαθόντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Θύρσις ὅδ᾽ ὡ᾽ξ Αἴτνας, καὶ Θύρσιδος ἁδ᾽ ἁ φωνά.
πᾶ πόκ᾽ ἄρ᾽ ἦθ᾽ ὅκα Δάφνις ἐτάκετο, πᾶ πόκα νύμφαι;
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἶχετ᾽ Ἀνάπω,
οὐδ᾽ Αἴτνας σκοπιὰν, οὐδ᾽ Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὠ᾽κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
πολλαὶ οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δ᾽ αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθ᾽ Ἑρμᾶς πράτιστος ἀπ᾽ ὤρεος, εἶπε δὲ, Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὦ ᾽γαθὲ, τόσσον ἔρασσαι;
ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λάθρια μὲν γελάοισα, βαρὺν δ᾽ ἀνὰ θυμὸν ἔχοισα·
κῆπε, Τὺ θὴν τὸν Ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν·
ἆρ᾽ οὐκ αὐτὸς Ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης;
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
τὰν δ᾽ ἄρα χὠ Δάφνις ποταμείβετο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής·
ἤδη γὰρ φράσδει πάνθ᾽ ἅλιον ἄμμι δεδύκειν·
Δάφνις κεὶν ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ᾽· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
οὐκέτ᾽ ἀνὰ δρυμὼς, οὐκ ἄλσεα· χαῖρ᾽ Ἀρέθοισα,
καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ·
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ὦ Πὰν, Πὰν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,

εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπε Ῥίον, αἰπύ τε σᾶμα
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγατόν.
λήγετε βωκολικᾶς Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
ἔνθ', ὦναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
ἐκ καρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν.
ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἄϊδος ἕλκομαι ἤδη.
λήγετε βωκολικᾶς Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι·
ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
πάντα δ' ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι·
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὰς κύνας ὥλαφος ἕλκοι,
κὴξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
λήγετε βωκολικᾶς Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
χὼ μὲν, τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
ἐκ Μοιρᾶν· χὼ Δάφνις ἔβα ῥόον· ἔκλυσε δίνα
τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
λήγετε βωκολικᾶς Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
πλῆρές τοι σχαδόνων· καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
ἁδεῖαν· τέττιγος ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.

## IDYLL. II.

## ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

Πᾷ μοι ταὶ Δάφναι; φέρε Θέστυλι· πᾷ δὲ τὰ φίλτρα;
στέψον τὰν κελέβαν φοινικέῳ οἶος ἀώτῳ,
ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταθύσομαι ἄνδρα,
ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδέποθ' ἥκει,

οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές,
οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἄλλᾳ
ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας, ἅ τ' Ἀφροδίτα·
βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
αὔριον, ὥς νιν ἴδω· καὶ μέμψομαι οἷά με ποιεῖ.
νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλά, Σελάνα,
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἅσυχα, δαῖμον,
τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
ἐρχομέναν νεκύων ἀνά τ' ἠρία, καὶ μέλαν αἷμα.
χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει,
φάρμακα ταῦθ' ἕρδοισα χερείονα μήτε τι Κίρκας,
μήτέ τι Μηδείας, μήτε ξανθᾶς Περιμήδας.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε
Θέστυλι δειλαία· πᾷ τὰς φρένας ἐκπεπότασαι;
ἦ ῥά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
πάσσ', ἅμα καὶ λέγε ταῦτα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
αἴθω· χ' ὡς αὐτὰ λακεῖ μέγα, καππυρίσασα,
κἠξαπίνης ἄφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ὡς τοῦτον τὸν καρὸν ἐγὼ σὺν δαίμονι τάκω,
ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
χ' ὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος, ἐξ Ἀφροδίτας
ὣς τῆνος δινοῖτο πόθ' ἁμετέρῃσι θύρῃσιν.
ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
νῆν θυσῶ τὰ πίτυρα· τὺ δ' Ἄρτεμι καὶ τὸν ἐν ᾅδᾳ
κινήσαις Ῥαδάμανθα, καὶ εἴ τι περ ἀσφαλὲς ἄλλο.
Θέστυλι, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται.
ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἠνίδε, σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἆται·
ἁ δ' ἐμὰ οὐ σιγᾷ στέρνων ἔντοσθεν ἀνία.
ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι, τῷ δ' ἔπι πᾶσαι

καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι·
ὣς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι
μαινομένῳ ἴκελος, λιπαρᾶς ἔκτοσθε παλαίστρας.
ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὡ'γὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἲ αἲ ἔρως ἀνιαρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
σαύραν τοι τρίψασα, κακὸν ποτὸν αὔριον οἰσῶ.
Θέστυλι, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ', ὑπόμαξον
τᾶς τήνω φλιᾶς καθυπέρτερον· ἇς ἔτι καὶ νῦν
ἐκ θυμῶ δέδεμαι· ὁ δέ μευ λόγον οὐδένα ποιεῖ·
καὶ λέγ' ἐπιφθύσδοισα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
νῦν δὴ μούνη ἐοῖσα πόθεν τὸν ἔρωτα δακρυσῶ;
ἐκ τίνος ἄρξεῦμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;
ἦνθ' ἁ τῶὐβούλοιο καναφόρος ἄμμιν Ἀναξὼ
ἄλσος ἐς Ἀρτέμιδος· τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα
θηρία πομπεύεσκε περισταδὸν, ἐν δὲ λέαινα.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μ' ἁ Θευχαρίλα Θρᾶσσα τροφὸς ἁ μακαρῖτις,
ἀγχίθυρος ναίοισα κατεύξατο, καὶ λιτάνευσε
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
ὡμάρτευν, βύσσοιο καλὸν σύροισα χιτῶνα,
κἀμφιστειλαμένα τὰν ξυστίδα τᾶς Κλεαρίστας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
ἤδη δ' εὖσα μέσον κατ' ἀμαξιτὸν, ᾇ τὰ Λύκωνος,
εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειὰς,
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ, Σελάνα,
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
χὡς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη
δειλαίας· τὸ δὲ κάλλος ἐτάκετο, κοὐδ' ἔτι πομπᾶς
τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον,

ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξαλάπαξε·
κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
  φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ·
ἔῤῥευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες· αὐτὰ δὲ λοιπὰ
ὀστέ' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα;
ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
  φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
χ' οὕτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα,
εἶ' ἄγε, Θέστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.
  φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
κἤπεί κά νιν ἐόντα μάθοις μόνον, ἅσυχα νεῦσον·
κἤφ' ὅτι Σιμαίθα τὺ καλεῖ· καὶ ὑφάγεο τᾷδε.
ὣς ἐφάμαν· ἁ δ' ἦνθε, καὶ ἄγαγε τὸν λιπαρόχρων
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
  (φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα)
πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἶσα.
  φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μ' ἐσιδὼν ὥστοργος, ἐπὶ χθονὸς ὄμματα πήξας
ἕζετ' ἐπὶ κλιντῆρι· καὶ ἑζόμενος φάτο μῦθον·
ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγώ θην
πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον,
ἐς τὸ τεὸν καλέσασα τόδε στέγος, ἢ με παρῆμεν.
  φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
ἦνθον γὰρ κἠγών, ναὶ τὸν γλυκὺν, ἦνθον, ἔρωτα,
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος, αὐτίκα νυκτός,

μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
πάντοσε πορφυρέῃσι περιζώστρῃσιν ἑλικτάν.
φράζέο μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
καί μ' εἰ μέν κ' ἐδέχεσθε, τάδ' ἦς φίλα· καὶ γὰρ ἐλαφρὸς
καὶ καλὸς πάντεσσι μετ' ἠϊθέοισι καλεῦμαι·
εἰ δ' ἀλλᾷ μ' ὠθεῖτε, καὶ ἁ θύρα εἴχετο μοχλῷ,
πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
καὶ μετὰ τὰν Κύπριν, τύ με δευτέρα ἐκ πυρὸς εἵλευ,
ὦ γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον,
αὔτως ἡμίφλεκτον· Ἔρως δ' ἄρα καὶ Λιπαραίου
πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει·
νῦν δέ τε δωδεκαταῖος ἀφ' ὧτέ νιν οὐδὲ ποτεῖδον·
ἦ ῥ' οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
νῦν μὲν τοῖς φίλτροις καταθύσομαι· αἰ δ' ἔτι κἠμὲ
λυπῇ, τὰν Ἀΐδαο πύλαν, ναὶ Μοίρας, ἀραξεῖ.
τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.
ἀλλὰ τὺ μὲν χαίροισα, ποτ' Ὠκεανὸν τρέπε πώλους,
πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον, ὥσπερ ὑπέσταν.
χαῖρε Σελαναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
ἀστέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.

## IDYLL. III.

## ΑΙΠΟΛΟΣ Η ΑΜΑΡΥΛΛΙΣ.

Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,

ᾧ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλα τοι οἰσῶ.
θᾶσαι μὰν θυμαλγὲς ἐμὶν ἄχος· αἴθε γενοίμαν
ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,
τὸν κισσὸν διαδὺς, καὶ τὰν πτέριν ἅ τὺ πυκάσδῃ.
νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
μασδὸν ἐθήλαξε, δρυμῷ τέ μιν ἔτραφε μάτηρ·
ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
τὸν στέφανον τῖλαί με καταυτίκα λεπτὰ ποιησεῖς,
τόν τοι ἐγὼν, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω,
ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
ὤ μοι ἐγὼ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
τὰν βαίταν ἀποδὺς, ἐς κύματα τῆνα ἀλεῦμαι,
ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
κἤκα μὴ ᾽ποθάνω, τό γε μὰν τεὸν ἁδὺ τέτυκται.
ἔγνων πρὰν, ὅκα μευ μεμναμένω εἰ φιλέεις με,
οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν,
ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.
εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
ἁ πρὰν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
τὶν ὅλος ἔγκειμαι· τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
τάν με καὶ ἁ Μέρμνωνος, Ἐριθακὶς ἁ μελανόχρως,
αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
αὐτάν; ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς·
καί κέ μ' ἴσως ποτίδοι· ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐνὶ χερσὶν ἑλὼν, δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα.

## Idyll. VI.

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

### ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ.

Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν ποκ᾽, Ἄρατε, συνάγαγον· ἦς δ᾽ ὁ μὲν αὐτῶν
πυῤῥός, ὁ δ᾽ ἡμιγένειος· ἐπὶ κράναν δέ τιν᾽ ἄμφω
ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ᾽ ἄειδον.
πρᾶτος δ᾽ ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.

ΔΑΦΝΙΣ.

βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
καί τύ νιν οὐ ποθόρησθα, τάλαν, τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων, πάλιν αὖ, ἴδε, τὰν κύνα βάλλει,
ἅ τοι τᾶν οἰῶν ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα· τὰ δέ νιν καλὰ κύματα φαίνει
ἅσυχα καχλάζοντος ἐπ᾽ αἰγιαλοῖο θέοισαν.
φράσδεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ᾽ ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύττει·
καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει·
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
τῷ δ᾽ ἔπι Δαμοίτας ἀνεβάλλετο καλὸν ἀείδεν.

ΔΑΜΟΙΤΑΣ.

εἶδον, ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἁνίκ᾽ ἔβαλλε,
κοὔ μ᾽ ἔλαθ᾽, οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθόρημι
ἐς τέλος. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ᾽ ἀγορεύων,
ἐχθρὰ φέροιτο ποτ᾽ οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν, οὐ ποθόρημι,
ἀλλ᾽ ἄλλαν τινὰ φαμὶ γυναῖκ᾽ ἔχεν· ἁ δ᾽ ἀΐοισα,
ζαλοῖ μ᾽, ὦ Παιάν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
οἰστρεῖ παπταίνοισα ποτ᾽ ἄντρα τε καὶ ποτὶ ποίμνας.
καὶ γάρ θην οὐδ᾽ εἶδος ἔχω κακόν, ὥς με λέγοντι.

ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον· ἦς δὲ γαλάνα·
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο· τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν.

## IDYLL. VII.

## ΘΑΛΥΣΙΑ, Η ΕΑΡΙΝΗ ΟΔΟΙΠΟΡΙΑ.

Ἦς χρόνος ἁνίκ' ἐγών τε καὶ Εὔκριτος ἐς τὸν Ἅλεντα
εἵρπομες ἐκ πόλιος· σὺν δὲ τρίτος ἄμμιν Ἀμύντας·
τᾷ Δηοῖ γὰρ ἔτευχε Θαλύσια καὶ Φρασίδαμος,
κ' Ἀντιγένης, δύο τέκνα Λυκώπεος· εἴ τι περ ἐσθλὸν
χαῶν τῶν ἐπάνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυε κράναν,
εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
αἴγειροι πτελέαι τε εὔσκιον ἄλσος ἔφαινον,
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμῖν τῶ Βρασίλα κατεφαίνετο· καί τιν' ὁδίταν
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
ὤνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος· οὐδέ κέ τίς μιν
ἠγνοίησεν ἰδὼν ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον·
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν· καί μ' ἀτρέμας εἶπε σεσαρὼς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς,
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνονται;
ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
λανὸν ἐπιθρώσκεις; ὥς τευ ποσὶ νισσομένοιο

## Idyll. VI.

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

### ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ.

Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν ποκ', Ἄρατε, συνάγαγον· ἦς δ' ὁ μὲν αὐτῶν
πυῤῥὸς, ὁ δ' ἡμιγένειος· ἐπὶ κράναν δέ τιν' ἄμφω
ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
πρᾶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.

ΔΑΦΝΙΣ.

βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
καί τύ νιν οὐ ποθόρησθα, τάλαν, τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων, πάλιν αὖ, ἴδε, τὰν κύνα βάλλει,
ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα· τὰ δέ νιν καλὰ κύματα φαίνει
ἄσυχα καχλάζοντος ἐπ' αἰγιαλοῖο θέοισαν.
φράσδεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἀνίκα φρύττει·
καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει·
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
τῷ δ' ἔπι Δαμοίτας ἀνεβάλλετο καλὸν ἀείδεν.

ΔΑΜΟΙΤΑΣ.

εἶδον, ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,
κοὔ μ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκὺν, ᾧ ποθόρημι
ἐς τέλος. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων,
ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν, οὐ ποθόρημι,
ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀΐοισα,
ζαλοῖ μ', ὦ Παιὰν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.
καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακὸν, ὥς με λέγοντι.

ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον· ἦς δὲ γαλάνα·
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο· τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν.

## IDYLL. VII.

## ΘΑΛΥΣΙΑ, Η ΕΑΡΙΝΗ ΟΔΟΙΠΟΡΙΑ.

Ἦς χρόνος ἁνίκ' ἐγών τε καὶ Εὔκριτος ἐς τὸν Ἅλεντα
εἵρπομες ἐκ πόλιος· σὺν δὲ τρίτος ἄμμιν Ἀμύντας·
τᾷ Δηοῖ γὰρ ἔτευχε Θαλύσια καὶ Φρασίδαμος,
κ' Ἀντιγένης, δύο τέκνα Λυκώπεος· εἴ τι περ ἐσθλὸν
χαῶν τῶν ἐπάνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυε κράναν,
εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ἔφαινον,
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμῖν τῶ Βρασίλα κατεφαίνετο· καί τιν' ὁδίταν
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
ὤνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος· οὐδέ κέ τίς μιν
ἠγνοίησεν ἰδὼν ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον·
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν· καί μ' ἀτρέμας εἶπε σεσαρὼς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς,
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνονται;
ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
λανὸν ἐπιθρώσκεις; ὥς τεῦ ποσὶ νισσομένοιο

πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.
τὸν δ' ἐγὼ ἀμείφθην· Λυκίδα φίλε, φαντί τυ πάντες
ἔμμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν,
ἔν τ' ἀμητήρεσσι· τὸ δὴ μάλα θυμὸν ἰαίνει
ἁμέτερον· καί τοι, κατ' ἐμὸν νόον, ἰσοφαρίσδεν
ἔλπομαι· ἁ δ' ὁδὸς ἅδε Θαλυσιάς· ἦ γὰρ ἑταῖροι
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι,
ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
ἀλλ' ἄγε δή, ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς,
βωκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα· κἠμὲ λέγοντι
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής·
οὐ Δᾶν· οὐ γάρ πω, κατ' ἐμὸν νόον, οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω, οὔτε Φιλητᾶν,
ἀείδων· βάτραχος δέ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος, ἁδὺ γελάξας,
τάν τοι, ἔφα, κορύναν δωρύττομαι, οὕνεκεν ἐσσὶ
πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,
καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδὸν
ἀντία κοκκύζοντες, ἐτώσια μοχθίζοντι.
ἀλλ' ἄγε, βωκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μέν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
τοῦθ' ὅ τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.

Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μιτυλάναν,
χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
κύματα, κ' Ὠρίων ὅτ' ἐπ' Ὠκεανῷ πόδας ἴσχει.
χἀλκυόνες στορεσεῦντι τὰ κύματα, τάν τε θάλασσαν,
τόν τε νότον, τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
ἀλκυόνες, γλαυκαῖς Νηρηΐσι ταί τε μάλιστα
ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν
ὥρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
κἠγὼ τῆνο κατ' ἆμαρ, ἀνήθινον, ἢ ῥοδόεντα,

ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων,
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρητῆρος ἀφυξῶ,
πὰρ πυρὶ κεκλιμένος· κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ,
χὰ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
κνύζᾳ τ' ἀσφοδέλῳ τε, πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς, μεμναμένος Ἀγεάνακτος,
αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
αὐλησεῦντι δέ μοι δύο ποιμένες· εἷς μὲν, Ἀχαρνεύς·
εἷς δὲ, Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βώτας,
χὡς ὄρος ἀμφεπολεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο·
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον,
ἢ Ἄθω, ἢ Ῥοδόπαν, ἢ Καύκασον ἐσχατόεντα.
ᾀσεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα, κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος·
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι.
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
ὦ μακαριστὲ Κομάτα, τὺ θὴν τάδε τερπνὰ πεπόνθης,
καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος, ἔτος ὥριον ἐξεπόνασας.
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμεν,
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας,
φωνᾶς εἰσαΐων· τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατακέκλισο, θεῖε Κομάτα.
χὼ μὲν τόσσ' εἰπὼν, ἀπεπαύσατο· τὸν δὲ μετ' αὖθις
κἠγὼν τοῖ' ἐφάμαν· Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βωκολέοντα
ἐσθλὰ, τά που καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
ἀλλὰ τό γ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τὺ γεραίρεν
ἀρξεῦμ', ἀλλ' ὑπάκοισον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.

* * * * * * *

τόσσ' ἐφάμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάξας
ὡς πάρος, ἐκ Μοισᾶν ξεινήϊον ὤπασεν ἦμες.
χὼ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ, τὰν ἐπὶ Πύξας

εἶρφ᾽ ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
στραφθέντες, χὠ καλὸς Ἀμύντιχος, ἔν τε βαθείαις
ἁδείας σχίνοιο χαμευνίσιν ἐκλίνθημες,
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
πολλαὶ δ᾽ ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
αἴγειροι πτελέαι τε· τὸ δ᾽ ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδεν.
τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες
τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ᾽ ὀλολυγὼν
τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών·
πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
πάντ᾽ ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ᾽ ὀπώρας.
ὄχναι μὲν πὰρ ποσσὶ, παρὰ πλευρῇσι δὲ μᾶλα
δαψιλέως ἁμῖν ἐκυλίνδετο· τοὶ δ᾽ ἐκέχυντο
ὄρπακες βραβύλοισι καταβρίθοντες ἔρασδε·
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον ἄντρον
κρατῆρ᾽ Ἡρακλῆϊ γέρων ἐστάσατο Χείρων;
ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ᾽ Ἀνάπῳ
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
τοῖον νέκταρ ἔπεισε κατ᾽ αὔλια ποσσὶ χορεῦσαι,
οἷον δὴ τόκα πῶμα διεκρανάσατε, Νύμφαι,
βωμῷ πὰρ Δάματρος ἁλωάδος; ἇς ἐπὶ σωρῷ
αὖθις ἐγὼ πάξαιμι μέγα πτύον· ἁ δὲ γελάξαι,
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

## IDYLL. IX.

## ΝΟΜΕΥΣ, Η ΒΟΥΚΟΛΟΙ.

### ΔΑΦΝΙΣ ΚΑΙ ΜΕΝΑΛΚΑΣ.

Βωκολιάσδεο Δάφνι· τὺ δ᾽ ᾠδᾶς ἄρχεο πρᾶτος·
ᾠδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας.

ΔΑΦΝΙΣ.

ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,

ἀδὺ δὲ χὰ σύριγξ, χὼ βωκόλος· ἀδὺ δὲ κἠγών.
ἐντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς· ἐν δὲ νένασται
λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἀπάσας
λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
ὅσσον ἐρῶντε πατρὸς μύθων ἢ ματρὸς ἀκούειν.
οὕτω Δάφνις ἄεισεν ἐμίν· οὕτω δὲ Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Αἴτνα, μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
κοίλαις ἐν πέτραισιν· ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ
φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,
ὧν μοι πρὸς κεφαλᾷ καὶ πὰρ ποσὶ κώεα κεῖνται.
ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζέει, ἐν πυρὶ δ' αὖαι
φαγοὶ, χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
χείματος, ἢ νωδὸς καρύων, ἀμύλοιο παρόντος.
τοῖς μὲν ἐπεπλατάγησα, καὶ αὐτίκα δῶρον ἔδωκα·
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρὸς,
αὐτοφυᾶ, ταν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων·
τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, οὗ κρέας αὐτὸς
σιτάθην, πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
πέντε ταμὼν πέντ' οὖσιν· ὁ δ' ἐγκαναχήσατο κόχλῳ·
βωκολικαὶ Μῶσαι μάλα χαίρετε· φαίνετε δ' ᾠδὰν
τάν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι.
μήκετ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσῃς.
τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἁ Μῶσα καὶ ᾠδά.
τᾶς μοι πᾶς εἴη πλεῖος δόμος· οὔτε γὰρ ὕπνος,
οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον· οὔτε μελίσσαις
ἄνθεα, ὅσσον ἐμὶν Μῶσαι φίλαι· οὓς γὰρ ὁρεῦντι
γαθεῦσαι, τώσδ' οὔ τι ποτῷ δαλήσατο Κίρκα.

## IDYLL. X.

## ΕΡΓΑΤΙΝΑΙ, Η ΘΕΡΙΣΤΑΙ.

### ΜΙΛΩΝ ΚΑΙ ΒΑΤΤΟΣ.

Ἐργατίνα Βουκαῖε, τί νῦν ᾠζυρὲ πεπόνθης;
οὔτε τὸν ὄγμον ἄγειν ὀρθὸν δύνα, ὡς τοπρὶν ἄγες·
οὔθ' ἅμα λαιοτομεῖς τῷ πλατίον· ἀλλ' ὑπολείπῃ,
ὥσπερ ὄϊς ποίμνας, τᾶς τὸν πόδα κάκτος ἔτυψεν.
ποῖός τις δείλαν τὺ καὶ ἐν μέσῳ ἄματος ἐσσῇ,
ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγεις;

ΒΑΤΤΟΣ.

Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

ΜΙΛΩΝ.

οὐδαμά· τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;

ΒΑΤΤΟΣ.

οὐδαμὰ νῦν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

ΜΙΛΩΝ.

μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.

ΒΑΤΤΟΣ.

ἀλλ' ἐγὼ, ὦ Μίλων, ἔραμαι σχεδὸν ἐνδεκαταῖος.

ΜΙΛΩΝ.

ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

ΒΑΤΤΟΣ.

τοιγάρτοι πρὸ θυρᾶν μευ ἀπὸ σπόρω ἄσκαλα πάντα.

ΜΙΛΩΝ.

τίς δὲ τὺ τᾶν παίδων λυμαίνεται; Β. ἁ Πολυβώτα,
ἃ πρᾶν ἀμώντεσσι παρ' Ἱπποκόωντι ποταύλει.

ΜΙΛΩΝ.

εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις·
μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία.

ΒΑΤΤΟΣ.

μωμᾶσθαί μ' ἄρχῃ τύ. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
ἀλλὰ καὶ ὡ' φρόντιστος Ἔρως· μηδὲν μέγα μυθεῦ.

ΜΙΛΩΝ.

οὐ μέγα μυθεῦμαι. τὺ μόνον κατάβαλλε τὸ λαῖον,

καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ· ἅδιον οὕτως
ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

ΒΑΤΤΟΣ.

Μῶσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
παῖδ'· ὧν γάρ χ' ἅψησθε, θεαί, καλὰ πάντα ποιεῖτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
ἰσχνάν, ἁλιόκαυστον· ἐγὼ δὲ μόνος μελίχλωρον.
καὶ τὸ ἴον μέλαν ἐντί, καὶ ἁ γραπτὰ ὑάκινθος·
ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.
ἁ αἴξ τὸν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
ἁ γέρανος τὤροτρον· ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
αἴθε μοι ἦσαν ὅσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,
χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ·
τὼς αὐλὼς μὲν ἔχοισα, καὶ ἢ ῥόδον, ἢ τύγε μᾶλον,
σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευ,
ἁ φωνὰ δὲ τρύχνα. τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙΛΩΝ.

ἦ καλὰς ἄμμι ποιῶν ἐλελήθη Βῶκος ἀοιδάς·
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
ὤ μοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα·
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα·

Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λᾶιον
εὔεργόν τ' εἴη, καὶ κάρπιμον ὅττι μάλιστα.

σφίγγετ', ἀμαλλοδέται, τὰ δράγματα, μὴ παριών τις
εἴπῃ, σύκινοι ἄνδρες, ἀπώλετο χ' οὗτος ὁ μισθός.

ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.

σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.

ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
καὶ λήγειν, εὕδοντος· ἐλινῦσαι δὲ τὸ καῦμα.

εὐκτὸς ὁ τῶ βατράχω, παῖδες, βίος· οὐ μελεδαίνει
τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.

κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἕψειν·
μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδεν.
τὸν δὲ τεὸν, Βουκαῖε, πρέπει λιμηρὸν ἔρωτα
μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

## Idyll. XI.

## ΚΥΚΛΩΨ.

Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
γίνετ' ἐπ' ἀνθρώποις· εὑρὴν δ' οὐ ῥᾴδιον ἐντί.
γινώσκεν δ' οἶμαι τὺ καλῶς, ἰατρὸν ἐόντα,
καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.
Οὕτω γοῦν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,
ὡ 'ρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ σελίνοις,
ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
πολλάκι ταὶ ὄϊες ποτὶ ταὔλιον αὐταὶ ἀπῆνθον
χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων,
αὐτὸς ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσας
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.
ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
ὑψηλᾶς, ἐς πόντον ὁρῶν, ἄειδε τοιαῦτα·
ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνὸς,
μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.
φοιτῇς δ' αὖθ' οὕτως ὅκκα γλυκὺς ὕπνος ἔχῃ με·
οἴχῃ δ' εὐθὺς ἰοῖσα ὅκα γλυκὺς ὕπνος ἀνῇ με·
φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
ἠράσθην μὲν ἔγωγε τεοῦς, κόρα, ἁνίκα πρᾶτον
ἦνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα

ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
παύσασθαι δ' ἐσιδὼν τὺ καὶ ὕστερον οὐδέ τι πω νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί', οὐδέν.
γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά·
εἷς δ' ὀφθαλμὸς ἔπεστι· πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
ἀλλ' ὠυτὸς, τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρᾳ
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τὶν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί· τρέφω τέ τοι ἕνδεκα νεβρὼς,
πάσας μαννοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον·
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθῆν.
ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι·
ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·
ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι.
τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμες,
ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦ καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
καὶ τὸν ἕν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον οὐδέν.
ὤμοι ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν, καὶ τὰν χέρα τεῦ ἐφίλασα,
αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
ἢ μάκων' ἁπαλὰν, ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
αἴκά τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς κεν ἴδω τί ποθ' ἁδὺ κατοικῆν τὸν βυθὸν ὔμμιν.

ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθεῖν.
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμέλγειν,
καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ.
οὐδὲν πᾶ ποχ' ὅλως ποτί τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσα με λεπτὸν ἐόντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.
ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
εὑρήσεις Γαλάτειας ἴσως καλλίονας ἄλλας.

## Idyll. XV.

## ΣΥΡΑΚΟΥΣΙΑΙ, Η ΑΔΩΝΙΑΖΟΥΣΑΙ.

ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ, ΕΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ΑΟΙΔΟΣ.

ΓΟ. Ἔνδοῖ Πραξινόα; ΠΡ. Γοργοῖ φίλα, ὡς χρόνῳ; ἐνδοῖ·
θαῦμ' ὅτι καὶ νῦν ἦνθες· ὅρη δίφρον, Εὐνόα, αὐτᾷ.
ἔμβαλε καὶ ποτίκρανον. ΓΟ. ἔχει κάλλιστα. ΠΡ. καθίζευ.

ΓΟΡΓΩ.

ὢ τᾶς ἀδαμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἐκαστοτέρω ἐμ' ἀποικεῖς.

ΠΡΑΞΙΝΟΗ.

ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθὼν,
ἰλεὸν, οὐκ οἴκησιν· ὅπως μὴ γείτονες ὦμες
ἀλλάλαις, ποτ' ἔριν, φθονερὸν κακὸν, αἰὲν ὅμοιος.

ΓΟΡΓΩ.

μὴ λέγε τὸν τέον ἄνδρα, φίλα, Δείνωνα, τοιαῦτα,
τῶ μικκῶ παρεόντος· ὅρη, γύναι, ὡς ποθορῇ τύ·

ΠΡΑΞΙΝΟΗ.

θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγω ἀπφῦν.

ΓΟΡΓΩ.

αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν ποτνίαν· καλὸς ἀπφῦς.

ΠΡΑΞΙΝΟΗ.

ἀπφῦς μὲν τῆνος πρώαν· λέγομες δὲ πρώαν θὴν
πάντα· νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπαχυς.

ΓΟΡΓΩ.

χὠμὸς ταῦτά γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ.
ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ.
βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
κοσμῆν τὰν βασίλισσαν. ΠΡ. ἐν ὀλβίω ὄλβια πάντα.
ὧν εἶδες, χὦν εἶπας, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

ΓΟΡΓΩ.

ἕρπειν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

ΠΡΑΞΙΝΟΗ.

Εὐνόα, αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον, αἰνόθρυπτε,
θὲς πάλιν· αἱ γαλέαι μαλακῶς χρήσδοντι καθεύδεν·
κινεῦ δὴ, φέρε θᾶσσον ὕδωρ· ὕδατος πρότερον δεῖ.
ἁδ' ὡς νᾶμα φέρει· δὸς ὅμως· μὴ πουλὺ, ἄπληστε,
ἔγχει ὕδωρ· δύστανε, τί μευ τὸ χιτώνιον ἀρδεῖς;
παῦσαι· ὁποῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ' αὐτάν·

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
τοῦτο πρέπει· λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΗ.

μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι. ΠΡ. πᾷ ποκ' ἔλειπες
τὠμπέχονον; φέρε μοι καὶ τὰν θολίαν· κατὰ κόσμον

ἀμφίθες· οὐκ ἀξῶ τυ, τέκνον· μορμώ· δάκνει ἵππος.
δάκρυ' ὅσσ' ἐθέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
ἕρπωμες. Φρυγία, τὸν μικκὸν, παῖσδε, λαβοῖσα·
τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
ὦ θεοὶ, ὅσσος ὄχλος· πῶς καὶ πόκα τοῦτο περᾶσαι
χρὴ τὸ κακόν; μύρμακες ἀνήριθμοι καὶ ἄμετροι.
πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα,
ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργὸς
δαλεῖται τὸν ἰόντα, παρέρπων Αἰγυπτιστί·
οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
ἀλλάλοις ὁμαλοὶ, κακὰ παίγνια, πάντες ἐρειοί.
ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πτολεμισταὶ
ἵπποι τῶ βασιλῆος· ἄνερ φίλε, μή με πατήσῃς.
ὀρθὸς ἀνέστα ὁ πυῤῥός· ἴδ' ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
ὠνάθην μεγάλως ὅτι μοι τὸ βρέφος μένει ἔνδον.

ΓΟΡΓΩ.

θάρσει Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν·
τοὶ δ' ἔβαν ἐς χώραν. ΠΡ. καὐτὰ συναγείρομαι ἤδη.
ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω
ἐκ παιδός. σπεύδωμες· ὄχλος πολὺς ἄμμιν ἐπιῤῥεῖ.

ΓΟΡΓΩ.

ἐξ αὐλᾶς ὦ μᾶτερ; ΓΡ. ἐγὼν, ὦ τέκνα. ΓΟ. παρενθεῖν
εὐμαρές; ΓΡ. ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί.
καλλίστα παίδων, πείρᾳ θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.
πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν·
θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος.

ΠΡΑΞΙΝΟΗ.

θεσπέσιος· Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τὺ,
Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ, μή τυ πλανηθῇς.
πᾶσαι ἅμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
ὤ μοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
ἔσχισται, Γοργοῖ· ποττῶ Διὸς, εἴτι γένοιο
εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

οὐκ ἐπ' ἐμὶν μέν· ὅμως δὲ φυλάξομαι. ΠΡ. ἀθρόος ὄχλος·
ὠθεῦνθ' ὥσπερ ὕες. ΞΕ. θάρσει γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΗ.

κεἰς ὥρας, κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης,
ἄμμε περιστέλλων· χρηστῶ κ' οἰκτίρμονος ἀνδρός.
φλίβεται Εὐνόα ἄμμιν. ἄγ' ὦ δειλὰ τὺ, βιάζευ.
κάλλιστ'· ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΗ.

πότνι' Ἀθαναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι.
ἔμψυχ' οὐκ ἐνυφαντά. σοφόν τι χρῆμ' ὤνθρωπος.
αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέω κατάκειται
κλισμῷ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
ὁ τριφίλατος Ἄδωνις, ὃ κὴν Ἀχέροντι φιλεῖται.

ΞΕΝΟΣ.

παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
τρυγόνες· ἐκκναισεῦντι, πλατειάσδοισαι ἅπαντα.

ΓΟΡΓΩ.

μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τὶν, εἰ κωτίλαι εἰμές;
πασάμενος γ' ἐπίτασσε· Συρακοσίαις ἐπιτάσσεις;
ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
Δωρίσδεν δ' ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσι.

ΠΡΑΞΙΝΟΗ.

μὴ φυῆ, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
πλὰν ἑνὸς οὐκ ἀλέγω, μή μοι κονίαν ἀπομάξῃ.

ΓΟΡΓΩ.

σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
ἁ τᾶς Ἀργείας θυγάτηρ, πολυΐδρις ἀοιδὸς,
ἅτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἀρίστευσε·
φθεγξεῖταί τι, σάφ' οἶδα, καλόν· διαθρύπτεται ἤδη.

## ΓΥΝΗ ΑΟΙΔΟΣ.

δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλασας,
αἰπεινόν τ' Ἔρυκα, χρυσῷ παίσδοισ' Ἀφροδίτα,
οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.
βάρδισται μακάρων, Ὧραι φίλαι. ἀλλὰ ποθειναὶ
ἔρχονται, πάντεσσι βροτοῖς αἰεί τι φέροισαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενικαν,
ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
τὶν δὲ χαριζομένα, πολυώνυμε, καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ, Ἑλένᾳ εἰκυῖα,
Ἀρσινόα, πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
πὰρ ῥα οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα·
εἴδατά θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ·
ὅσσά τ' ἀπὸ γλυκερῷ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ·
πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾇδε πάρεστι.
χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθουσαι ἀνήθῳ
δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερποτόωνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων
πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
ὢ ἔβενος, ὢ χρυσὸς, ὢ ἐκ λευκῶ ἐλέφαντος
αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διῒ παῖδα φέροντες.
πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτερα ὕπνω·
ἁ Μίλατος ἐρεῖ, χὼ τὰν Σαμίαν καταβόσκων
ἔστρωται κλίνα· τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα·
τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις·
ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός·
νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα,
ἀῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα·
λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.

ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε, κ' εἰς Ἀχέροντα,
ἁμιθέων, ὡς φαντὶ, μονώτατος· οὔτ' Ἀγαμέμνων
τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτατος εἴκατι παίδων,
οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν,
οὔθ', οἱ ἔτι πρότεροι, Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγοί.
ἵλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, φίλος ἥξεις.

ΓΟΡΓΩ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον ἁ θήλεια.
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκυφωνεῖ.
ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
χὡνὴρ ὄξος ἅπαν· πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
χαῖρ', ἀγαπάτ' Ὤδωνι, καὶ ἐς χαίροντας ἀφικνεῦ.

## IDYLL. XVI.

## ΧΑΡΙΤΕΣ, Η ΙΕΡΩΝ.

Αἰεὶ τοῦτο Διὸς κώραις μέλει, αἰὲν ἀοιδοῖς,
ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μῶσαι μὲν, θεαὶ ἐντὶ, θεοὺς θεαὶ ἀείδοντι·
ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.
τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ,
ἁμετέρας χάριτας πετάσας ὑποδέξεται οἴκῳ
ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτως ἀποπεμψεῖ;
αἱ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
πολλά με τωθάσδοισαι ὅτ' ἁλιθίαν ὁδὸν ἦνθον·
ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλῶ
ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι·
ἔνθ' αὐὴ σφίσιν ἕδρα, ἐπὰν ἄπρακτοι ἵκωνται.
τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλασεῖ;
οὐκ οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργοις, ὡς πάρος, ἐσθλοῖς
αἰνεῖσθαι σπεύδοντι· νενίκανται δ' ὑπὸ κερδέων.

πᾶς δ' ὑπὸ κόλπω χεῖρας ἔχων, πόθεν οἴσεται ἀθρεῖ
ἄργυρον· οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη·
ἀλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ κνήμα·
αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς·
τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος·
οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν.

Δαιμόνιοι, τί δὲ κέρδος ὁ μύριος ἔνδοθι χρυσὸς
κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις·
ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
πολλοὺς δ' εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων
ἀνθρώπων· αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν.
μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζᾳ
μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλητι νέεσθαι.
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας·
ὄφρα καὶ εἰν Ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς,
μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχρῷ Ἀχέροντος,
ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας,
ἀχὴν ἐκ πατέρων, πενίαν ἀκτήμονα κλαίων.
πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
ἁρμαλιὰν ἔμμηνον ἐμετρήσαντο πενέσται·
πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακὸν
μόσχοι σὺν κεραῇσιν ἐμυκήσαντο βόεσσι·
ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνῶ Ἀχέροντος·
ἄμναστοι δέ, τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες
δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
εἰ μὴ κεινὸς ἀοιδὸς ὁ Κήϊος, αἰόλα φωνέων
βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
ὁπλοτέροις· τιμὰς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.
τίς δ' ἂν ἀριστῆας Λυκίων ποτε, τίς κομόωντας
Πριαμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
οὐδ' Ὀδυσεὺς, ἑκατόν τε καὶ εἴκατι μῆνας ἀλαθεὶς
πάντας ἐπ' ἀνθρώπους, Ἀΐδαν τ' εἰς ἔσχατον ἐνθὼν

ζωὸς, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
δηναιὸν κλέος ἔσχεν· ἐσιγάθη δ' ὁ συφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτας,
εἰ μὴ σφᾶς ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί·
ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι·
χρήματα δὲ ζώοντες ἀμαλδύνοντι θανόντων.
ἀλλ' ἶσος γὰρ ὁ μόχθος, ἐπ' ἀόνι κύματα μετρεῖν,
ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
ἢ ὕδατι νίζειν θολερὰν ἰοιδέϊ πλίνθον.
χαιρέτω ὅστις τοῖος· ἀνάριθμος δέ οἱ εἴη
ἄργυρος· αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν·
αὐτὰρ ἐγὼ τιμάν τε καὶ ἀνθρώπων φιλότητα
πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
δίζημαι δὲ τίνι θνατῶν κεχαρισμένος ἔνθω
σὺν Μοίσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδοῖς
κουράων ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·
πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι.
ἔσσεται οὗτος ἀνὴρ ὃς ἐμεῦ κεχρήσετ' ἀοιδᾶ,
ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας, ἢ βαρὺς Αἴας
ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
ἤδη νῦν Φοίνικες, ὑπ' ἠελίῳ δύνοντι
οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν, ἐῤῥίγασιν·
ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα,
ἀχθόμενοι σακέεσσι βραχίονας ἰτείνοισιν.
ἐν δ' αὐτοῖς Ἱέρων, προτέροις ἶσος ἡρώεσσι,
ζώννυται· ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
Αἲ γὰρ, Ζεῦ, κύδιστε πάτερ, καὶ πότνι' Ἀθάνα,
Κώρα θ' ἃ σὺν Ματρὶ πολυκλάρων Ἐφυραίων
εἴλαχας μέγα ἄστυ, παρ' ὕδασι Λυσιμελείας,
ἐχθροὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγελέοντας
τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθματοὺς ἀπὸ πολλῶν·
ἄστεά τε προτέροισι πάλιν ναίοιτο πολίταις,

δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ᾽ ἄκρας.
ἀγροὺς δ᾽ ἐργάζοιντο τεθαλότας· αἵ τ᾽ ἀνάριθμοι
μήλων χιλιάδες βοτάναις διαπιανθεῖσαι,
ἀμπεδίον βλήχοιντο· βόες δ᾽ ἀγεληδὸν ἐς αὖλιν
ἐρχόμεναι σκνιφαῖον ἐπισπεύδοιεν ὁδίταν·
νειοὶ δ᾽ ἐκπονέοιντο ποτὶ σπόρον, ἁνίκα τέττιξ
ποιμένας ἐνδίους πεφυλαγμένος, ἔνδοθι δένδρων
ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ᾽ εἰς ὅπλ᾽ ἀράχναι
λεπτὰ διαστήσαιντο, βοᾶς δ᾽ ἔτι μηδ᾽ ὄνομ᾽ εἴη.
ὑψηλὸν δ᾽ Ἱέρωνι κλέος φορέοιεν ἀοιδοὶ
καὶ πόντου Σκυθικοῖο πέραν, καὶ ὅπῃ πλατὺ τεῖχος
ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
εἷς μὲν ἐγώ, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
θυγατέρες· τοῖς πᾶσι μέλοι Σικελὰν Ἀρέθοισαν
ὑμνεῖν σὺν λαοῖσι, καὶ αἰχμηταν Ἱέρωνα.
ὦ Ἐτεόκλειοι θύγατρες θεαί, αἱ Μινύειον
Ὀρχομένον φιλέοισαι, ἀπεχθόμενόν ποκα Θήβαις,
ἄκλητος μὲν ἔγωγε μένοιμί κεν· ἐς δὲ καλεύντων
θαρσήσας Μοίσαισι σὺν ἁμετέραισιν ἱκοίμαν·
καλλείψω δ᾽ οὐδ᾽ ὔμμε· τί γὰρ Χαρίτων ἀγαπατὸν
ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ᾽ εἴην.

## Idyll. XVII.

## ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΠΤΟΛΕΜΑΙΟΝ.

Ἐκ Διὸς ἀρχώμεσθα, καὶ ἐς Δία λήγετε, Μοῖσαι,
ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς·
ἀνδρῶν δ᾽ αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
καὶ πύματος, καὶ μέσσος· ὁ γὰρ προφερέστατος ἀνδρῶν.
ἥρωες, τοὶ πρόσθεν ἀφ᾽ ἁμιθέων ἐγένοντο,
ῥέξαντες καλὰ ἔργα, σοφῶν ἐκύρησαν ἀοιδῶν·
αὐτὰρ ἐγὼ Πτολεμαῖον, ἐπιστάμενος καλὰ εἰπῆν,
ὑμνήσαιμ᾽. ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐνθών,

παπταίνει, παρέοντος ἄδην, πόθεν ἄρξεται ἔργῳ·
τί πρᾶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπῆν,
οἷσι θεοὶ τὸν ἄριστον ἐτίμασαν βασιλήων·
'Εκ πατέρων οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Λαγιάδας Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
βουλάν, ἃν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι;
τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
ἀθανάτοις, καὶ οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ
δέδμηται· παρὰ δ' αὐτὸν 'Αλέξανδρος φίλα εἰδὼς
ἑδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομίτραις.
ἀντία δ' Ἡρακλῆος ἕδρα σφιν ταυροφόνοιο
ἵδρυται, στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδαισι,
χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν,
ὅττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας,
ἀθάνατοι δὲ καλεῦνται, ἑοὶ νέποδες γεγαῶτες·
ἀμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας·
ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι, κεκορημένος ἤδη
νέκταρος εὐόδμοιο, φίλας ἐς δῶμ' ἀλόχοιο,
τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν,
τῷ δὲ σιδάρειον σκύταλον, κεχαραγμένον ὄζοις·
οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβας
ὅπλα καὶ αὐτὸν ἄγοντι γενειήταν Διὸς υἱόν.
Οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
ἔπρεπε θηλυτέραις, ὄφελος μέγα γειναμένοισι·
τᾶς μὲν Κύπρον ἔχοισα Διώνας πότνια κώρα
κόλπον ἐς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας·
τῷ οὔπω τινὰ φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναικῶν,
ὅσσον περ Πτολεμαῖος ἑὰν ἐφίλασεν ἄκοιτιν.
Κάλλει ἀριστεύοισα θεάων, πότνι' Ἀφροδίτα,
σοὶ τῆνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα
εὐειδὴς 'Αχέροντα πολύστονον οὐκ ἐπέρασεν·
ἀλλά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶμα κατενθῆν
κυάνεον, καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμᾶς.

πᾶσιν δ' ἤπιος ἅδε βροτοῖς, μαλακὼς μὲν ἔρωτας
προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.
Καί σε Κόως ἀτίταλλε, βρέφος νεογιλὸν ἐόντα,
δεξαμένα παρὰ ματρὸς, ὅτε πρώταν ἴδες ἀῶ—
παῖς ἀγαπατὸς ἔγεντο· Κόως δ' ὀλόλυξεν ἰδοῖσα·
φᾶ δὲ, καθαπτομένα βρέφεος χείρεσσι φίλαισιν,
ὄλβιε κῶρε γένοιο· τίοις δέ με τόσσον ὅσον περ
Δῆλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
ἐν δὲ μιᾷ τιμᾷ Τρίοπος καταθεῖο κολώναν,
ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,
ὅσσον καὶ Ῥήναιαν ἄναξ ἐφίλασεν Ἀπόλλων.
Ὣς ἄρα νᾶσος ἔειπεν· ὁ δ' ὑψόθεν ἔκλαγε φωνᾷ
ἐς τρὶς ὑπαὶ νεφέων Διὸς αἴσιος αἰετὸς ὄρνις.
Ζηνός που τόδε σᾶμα· Διῒ Κρονίωνι μέλοντι
αἰδοῖοι βασιλῆες· ὁ δ' ἔξοχος ὅν κε φιλάσῃ
γεινόμενον ταπρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπαδεῖ.
πολλᾶς μὲν κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.
μυρίαι ἄπειροί τε, καὶ ἔθνεα μυρία φωτῶν
λήϊον ἀλδήσκουσιν ὀφελλόμενον Διὸς ὄμβρῳ·
ἀλλ' οὔτις τόσα φύει ὅσα χθαμαλὰ Αἴγυπτος,
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει·
οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.
τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐννεάδες τρεῖς·
τῶν πάντων Πτολεμαῖος ἀγάνωρ ἐμβασιλεύει.
καὶ μὴν Φοινίκας ἀποτέμνεται, Ἀῤῥαβίας τε,
καὶ Συρίας, Λιβύας τε, κελαινῶν τ' Αἰθιοπήων·
Παμφύλοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
σαμαίνει, Λυκίοις τε φιλοπτολέμοισί τε Καρσὶ,
καὶ νάσοις Κυκλάδεσσιν· ἐπεί οἱ νᾶες ἄρισται
πόντον ἐπιπλώοντι· θάλασσα δὲ πᾶσα καὶ αἶα
καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ.
πολλοὶ δ' ἱππῆες, πολλοὶ δέ οἱ ἀσπιδιῶται
χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀσφαραγεῦντι.
ὄλβῳ μὲν πάντας καταβεβρίθει βασιλῆας·

τόσσον ἐπ' ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
πάντοθε· λαοὶ δ' ἔργα περιστέλλουσιν ἕκηλοι.
οὐ γάρ τις δηΐων πολυκήτεα Νεῖλον ἐπεμβὰς,
πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις·
οὐ δέ τις αἰγιαλόνδε θοᾶς ἐξάλατο ναὸς,
θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσιν.
τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι,
ξανθόκομος Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν·
ᾧ ἐπίπαγχυ μέλει πατρώϊα πάντα φυλάσσειν,
οἷ' ἀγαθῷ βασιλῆϊ· τὰ δὲ κτεατίζεται αὐτός.
οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσὸς,
μυρμάκων ἅτε πλοῦτος, ἀεὶ κέχυται, μογεόντων·
ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
αἰὲν ἀπαρχομένοιο, σὺν ἄλλοισιν γεραέσσι·
πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
οὐδὲ Διωνύσου τὶς ἀνὴρ ἱερὸς κατ' ἀγῶνας
ἵκετ', ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδὰν,
ᾧ οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
ἀντ' εὐεργεσίας. τί δὲ κάλλιον ἀνδρί κεν εἴη
ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μύρια τῆνα,
ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες,
ἀέρι πᾶ κεκρύπται, ὅθεν πάλιν οὐκέτι νόστος.
μοῦνος ὅδε προτέρων τοκέων ἔτι θερμὰ κονίῃ,
στειβόμενος καθύπερθε, ποδῶν ἐκμάσσεται ἴχνη.
ματρὶ φίλᾳ καὶ πατρὶ θεώδεας εἵσατο ναώς·
ἐν δ' αὐτὼς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
ἵδρυσεν, πάντεσσιν ἐπιχθονίοισιν ἀρωγώς.
πολλὰ δὲ πιανθέντα βοῶν ὅδε μηρία καίει,
μασὶ περιπλομένοισιν, ἐρευθομένων ἐπὶ βωμῶν.
Χαῖρ', ὦναξ Πτολεμαῖε, σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
μνάσομαι ἁμιθέων· δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
φθέγξομαι ἐσσομένοις· ἀρετάν γε μὲν ἐκ Διὸς αἰτεῦ.

## Idyll. XIX.

## ΚΗΡΙΟΚΛΕΠΤΗΣ.

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα,
κηρίον ἐκ σίμβλων συλεύμενον· ἄκρα δὲ χειρῶν
δάκτυλα πάνθ' ὑπένυξεν· ὁ δ' ἄλγεε, καὶ χέρ' ἐφύσση,
καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἄλατο· τᾷ δ' Ἀφροδίτᾳ
δεῖξεν τὰν ὀδύναν, καὶ μέμφετο ὅττι γε τυτθὸν
θηρίον ἐντὶ μέλισσα, καὶ ἁλίκα τραύματα ποιεῖ.
χὰ μάτηρ γελάσασα, Τὺ δ' οὐκ ἴσον ἐσσὶ μελίσσαις;
χὠ τυτθὸς μὲν ἔῃς, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς.

## Idyll. XXI.

## ΑΛΙΕΙΣ.

### ΑΣΦΑΛΙΩΝ ΚΑΙ ΕΤΑΙΡΟΣ.

Ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει·
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
κἂν ὀλίγον νυκτός τις ἐπιψαύσῃσι, τὸν ὕπνον
αἰφνίδιον θορυβεῦσιν ἐπιστάμεναι μελεδῶναι.
Ἰχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,
στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,
κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ· ἐγγύθι δ' αὐτοῖν
κεῖτο τὰ ταῖν χειροῖν ἀθλήματα, τοὶ καλαθίσκοι,
τοὶ κάλαμοι, τἄγκιστρα, τὰ φυκιόεντα δέλητα,
ὁρμειαὶ, κύρτοι τε, καὶ ἐκ σχοίνων λαβύρινθοι,
μήρινθοι, κῶάς τε, γέρων τ' ἐπ' ἐρείσμασι λέμβος·
νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχὺς, εἵματα, πῖλοι.
οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόρος, οὗτος ὁ πλοῦτος.
οὐδεὶς δ' οὐ χύτραν εἶχ', οὐ κύνα· πάντα περισσά·
πάντ' ἐδόκει τήνοις ἄγρα· πενία σφιν ἑταίρα.
οὐδεὶς δ' ἐν μέσσῳ γείτων, παντᾶ δὲ παρ' αὐτὰν
θλιβομέναν καλύβαν τρυφερὸν προσέναχε θάλασσα.
οὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα Σελάνας,

τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος· ἐκ βλεφάρων δὲ
ὕπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον ᾠδάν.
A. Ψεύδονται, φίλε, πάντες, ὅσοι τὰς νύκτας ἔφασκον
τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς·
ἤδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
μὴ λαθόμαν; τί τὸ χρῆμα; χρόνον δ' αἱ νύκτες ἔχοντι.
B. Ἀσφαλίων, μέμφῃ τὸ καλὸν θέρος· οὐ γὰρ ὁ καιρὸς
αὐτομάτως παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον
ἁ φροντὶς κόπτοισα, μακρὰν τὰν νύκτα ποιεῖ τιν.
A. ἆρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον.
οὔ σε θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον,
ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.
οὐ γὰρ νικαξῇ κατὰ τὸν νόον· οὗτος ἄριστος
ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
δειλινὸν ὡς κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν·
οὐκ ἦν μὰν πολύσιτος· ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ'· εἶδον ἐμαυτὸν
ἐν πέτρᾳ μεμαῶτα· καθεσδόμενος δ' ἐδόκευον
ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
καί τις τῶν τραφερῶν ὠρέξατο· καὶ γὰρ ἐν ὕπνοις
πᾶσα κύων ἄρτως μαντεύεται· ἰχθύα κἠγών.
χὠ μὲν τὠγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα·
τὸν κάλαμον δ' ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον.
τὼ χέρε τεινόμενος, περὶ κνώδαλον εὖρον ἀγῶνα,
πῶς μὲν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.
εἶθ' ὑπομιμνάσκων τῶ τραύματος, ἄρ' ἐμὲ νύξεις;
καὶ νύξῃ χαλεπῶς· καὶ οὐ φεύγοντος ἔτεινα.
ἤνυσ' ἰδὼν τὸν ἄεθλον· ἀνείλκυσα χρύσεον ἰχθὺν,
πάντοθε τῷ χρυσῷ πεπυκασμένον. εἶχε δὲ δεῖμα
μή τι Ποσειδάωνι πέλοι πεφιλαμένος ἰχθὺς,
ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτας.
ἠρέμα δ' αὐτὸν ἐγὼν ἐκ τὠγκίστρω ἀπέλυσα,
μή ποτε τῶ στόματος τἀγκίστρια χρυσὸν ἔχοιεν.
καὶ τὸν μὲν πειστῆρσι κατῆγον ἐπ' ἠπείροιο·
ὤμοσα δ' οὐκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,

ἀλλὰ μένειν ἐπὶ γᾶς, καὶ τῷ χρυσῷ βασιλεύειν.
ταῦτά με κἀξήγειρε· τὺ δ', ὦ ξένε, λοιπὸν ἔρειδε
τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.
B. καὶ σύ γε μὴ τρέσσῃς· οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθὺν
χρύσεον ὡς ἴδες εὗρες· ἴσαι δὲ ψεύδεσιν ὄψεις.

## Idyll. XXII.

## ΔΙΟΣΚΟΥΡΟΙ.

Ὑμνέομες Λήδας τε καὶ αἰγιόχω Διὸς υἱὼ,
Κάστορα, καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζεν,
χεῖρας ἐπιζεύξαντα μέσας βοέοισιν ἱμᾶσιν.
ὑμνέομες καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφοὺς,
ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
ἵππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
ναῶν θ', αἳ δύνοντα καὶ οὐρανοῦ ἐξανιόντα
ἄστρα βιαζόμεναι, χαλεποῖς ἐνέκυρσαν ἀήταις·
οἱ δὲ, σφέων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
ἠὲ καὶ ἐκ πρώραθεν, ἢ ὅππα θυμὸς ἑκάστου,
ἐς κοίλαν ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
ἀμφοτέρως· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα,
εἰκῆ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
νυκτὸς ἐφερποίσας· παταγεῖ δ' εὐρεῖα θάλασσα,
κοπτομένη πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις.
ἀλλ' ἔμπας ὑμεῖς γε καὶ ἐκ βυθοῦ ἕλκετε νᾶας
αὐτοῖσιν ναύταισιν ὀϊομένοις θανέεσθαι.
αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
ἀμπέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
φάτνη, σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
ὦ ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
ἱππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί·
Κάστορος, ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;

ἀμφοτέρως ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ, καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα·
ἔνθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν, καὶ ὑπήνεμον ἀκτὴν
εὐνάς τ' ἐστόρνυντο, πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος, ὅ τ' οἰνωπὸς Πολυδεύκης,
ἄμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.
παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ
ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
λάλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
ἐκ βυθοῦ· ὑψηλαὶ δ' ἐπεφύκεσαν ἀγχόθι πεῦκαι,
λεῦκαί τε, πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι,
ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἂν λειμῶνας.
ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
στήθεα δ' ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον,
σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός·
ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
ἕστασαν, ἠΰτε πέτροι ὁλοίτροχοι, οὕστε κυλίνδων
χειμάῤῥους ποταμὸς μεγάλαις περιέξεσε δίναις.
αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ᾐωρεῖτο
ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης·
Π. χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοὶ ὧν ὅδε χῶρος;
Α. χαίρω πως, ὅτε τ' ἄνδρας ὁρῶ τοὺς μήποτ' ὄπωπα.
Π. θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
Α. θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
Π. ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης;
Α. τοιόσδ' οἷον ὁρᾷς· τῆς σῆς γέ μεν οὐκ ἐπιβαίνω.
Π. ἔλθοις, καὶ ξενίων γε τυχὼν, πάλιν οἴκαδ' ἱκάνοις.

Α. μήτε σύ με ξείνιζε· τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
Π. δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύ γε δοίης;
Α. γνώσεαι, εἴ σου δίψος ἀνειμένα χείλεα τέρσει.
Π. ἄργυρος, ἢ τίς ὁ μισθὸς, ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;
Α. εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστάς.
Π. πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος, ὄμμα τόδ' ὀρθῶ;
Α. πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνης.
Π. τίς γὰρ ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;
Α. ἐγγὺς ὁρᾷς· οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.
Π. ἦ καὶ ἄεθλον ἑτοῖμον ἐφ' ᾧ δηρισόμεθ' ἄμφω;
Α. σὸς μὲν ἐγὼ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴ κε κρατήσω.
Π. ὀρνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.
Α. εἶτ' οὖν ὀρνίχεσσιν ἐοικότες, εἴτε λέουσι,
γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκάσατο κοῖλον.
οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστω,
κόχλω φυσαθέντος ἀεὶ, Βέβρυκες κομόωντες.
ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαῒ Κάστωρ.
οἱ δ', ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
ἐς μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
ὁππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.
ἀλλ' ἰδρίῃ μέγαν ἄνδρα παρήλυθες, ὦ Πολύδευκες·
βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον·
αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω
χερσὶ τιτυσκόμενος· τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον ἢ πρὶν,
σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ' ἐπέκειτο, νενευκὼς
ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον· ἐκ δ' ἑτέρωθεν
ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
δειδιότες μήπως μιν ἐπιβρίσας δαμάσειε
χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς

ἀμφοτέραισιν ἄμυσσεν ἀμοιβαδίς· ἔσχεθε δ' ὁρμῆς
παῖδα Ποσειδάωνος, ὑπερφίαλόν περ ἐόντα.
ἔστη δὲ πλαγαῖς μεθύων· ἐκ δ' ἔπτυσεν αἷμα
φοίνιον· οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε·
ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
μέσσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμὴν,
πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὁ πλαγεὶς,
ὕπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύσθη.
ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
ἀλλάλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
αὐχένος, ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πλαγαῖς
πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
σάρκες δ' αἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
ἀπτόμενος φορέεσκε πόνου, χροιῇ δ' ἔτ' ἀμείνω.
πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν,
εἰπὲ θεὰ, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης
φθέγξομαι ὅσσ' ἐθέλεις σὺ, καὶ ὅππως τοι φίλον αὐτᾷ.
Ἤτοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,
δεξιτερῆς ἤνεγκεν ἀπαὶ λαγόνος πλατὺ γυῖον.
καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα,
ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ· στιβαρᾷ δ' ἄρα χειρὶ
πλᾶξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ·
ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος·
λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες.
αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
μέχρι συνηλοίησε παρήϊα· πᾶς δ' ἐπὶ γαῖαν
κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε, νῖκος ἀπαυδῶν,
ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.

τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας,
ὦ πύκτα Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι·
Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ· σὲ δὲ, Κάστορ, ἀείσω,
Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ.
τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ, υἷ' Ἀφαρῆος,
γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.
ἀλλ' ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
ἐκ δίφρων ἅμα πάντες ἐπ' ἀλλάλοισιν ὄρουσαν,
ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ' αὖ μετέειπεν ὑπὲκ κόρυθος μέγ' ἀΰσας·
Δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις
ἀλλοτρίαις χαλεποὶ, γυμναὶ δ' ἐν χερσὶ μάχαιραι;
ἁμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
τάσδε πολὺ προτέροις· ἁμῖν γάμος οὗτος ἐν ὅρκῳ.
ὑμεῖς δ' οὐ κατὰ κόσμον, ἐπ' ἀλλοτρίοις λεχέεσσι,
βουσὶ καὶ ἡμιόνοισι, καὶ ἀλλοτρίοις κτεάτεσσιν,
ἄνδρα παρετρέψασθε, γάμον δ' ἐκλέψατε δώροις.
ἦ μὰν πολλάκις ὔμμιν ἐνώπιος ἀμφοτέροισιν,
αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐών περ·
οὐχ' οὕτω, φίλοι ἄνδρες, ἀριστήεσσιν ἔοικε
μναστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
πολλά τοι Σπάρτα, πολλὰ δ' ἱππήλατος Ἆλις,
Ἀρκαδία τ' εὔμαλος, Ἀχαιῶν τε πτολίεθρα,
Μεσσάνα τε, καὶ Ἄργος, ἅπασά τε Σισυφὶς ἀκτά·
ἔνθα κόραι τοκέεσσιν ὑπὸ σφετέροισι τρέφονται
μυρίαι, οὔτε φυῆς ἐπιδευέες, οὔτε νόοιο·
ὡς ἀγαθοῖς πολέες βούλοιντό κε πενθεροὶ εἶναι.
ὔμμες δ' ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
καὶ πατέρες, καὶ ἄνωθεν ἅπαν ματρώϊον αἷμα.
ἀλλὰ, φίλοι, τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
νῶϊ γάμον, σφῶν δ' ἄλλον ἐπιφραζώμεθα πάντες.

ἴσκον τοιάδε πολλά· τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
πνοιὴ ἔχοισ' ἀνέμοιο· χάρις δ' οὐχ ἕσπετο μύθοις.
σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ' ἔτι καὶ νῦν
πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
εἰ δ' ὑμῖν κραδία πόλεμον ποθεῖ, αἵματι δὲ χρὴ
νεῖκος ἀναρρήξαντας ὁμοίϊον ἔχθεα λῦσαι,
Ἴδας μὲν καὶ ὅμαιμος ἐὸς κρατερὸς Πολυδεύκης
χεῖρας ἐρωήσουσιν ἀπεχθομένας ὑσμίνας·
νῶϊ δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' Ἄρηϊ,
ὁπλοτέρω γεγαῶτε· γονεῦσι δὲ μὴ πολὺ πένθος
ἁμετέροισι λίπωμεν· ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
εἷς· ἀτὰρ ὦλλοι πάντας εὐφρανέουσιν ἑταίρους,
νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
τάσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε, τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.
τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
τοὶ γενεᾷ προφέρεσκον· ὁ δ' εἰς μέσον ἤλυθε Λυγκεὺς,
σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πράταν·
ὡς δ' αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμὰς
Κάστωρ· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
ἔγχεσι μὲν πράτιστα τιτυσκόμενοι πόνον εἶχον
ἀλλάλων, εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
ἀλλ' ἤτοι τὰ μὲν ἄκρα, πάρος τινὰ δηλήσασθαι,
δοῦρ' ἐάγη, σακέεσσιν ἐν ἰτεΐνοισι παγέντα.
τὼ δ' ἄορ' ἐκ κολεοῖϊν ἐρυσσαμένω, φόνον αὖθις
τεῦχον ἐπ' ἀλλάλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
πολλὰ μὲν εἰς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεὺς
τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
τοῦ μὲν ἄκραν ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
φάσγανον ὀξὺ φέροντος ὑπεξαναβὰς ποδὶ Κάστωρ
σκαιῷ· ὁ δὲ, πλαγεὶς ξίφος ἔκβαλεν· αἶψα δὲ φεύγειν
ὡρμάθη ποτὶ σᾶμα πατρὸς, ὅθι καρτερὸς Ἴδας
κεκλιμένος θαεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρὸ

Τυνδαρίδας λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
χαλκὸς ἄφαρ διέχευεν· ὁ δ' εἰς χθόνα κεῖτο νενευκὼς
Λυγκεύς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρῴῃ
παίδων Λαοκόωσα, φίλον γάμον ἐκτελέσαντα.
ἦ γὰρ ὅγε στάλαν Ἀφαρηΐου ἐξανέχουσαν
τύμβῳ, ἀναῤῥήξας ταχέως Μεσσάνιος Ἴδας,
μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτὰν
μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
οὕτω Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐν ἐλαφρῷ.
αὐτοί τε κρατέοντε, καὶ ἐκ κρατέοντος ἔφυσαν.
Χαίρετε Λήδας τέκνα, καὶ ἁμετέροις κλέος ὕμνοις
ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ γε πάντες ἀοιδοὶ
Τυνδαρίδαις, Ἑλένᾳ τε, καὶ ἄλλοις ἡρώεσσιν,
Ἴλιον οἳ διέπερσαν, ἀρήγοντες Μενελάῳ.
ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδὸς,
ὑμνήσας Πριάμοιο πόλιν, καὶ νῆας Ἀχαιῶν,
Ἰλιάδας τε μάχας, Ἀχιλῆά τε πύργον ἀϋτῆς·
ὑμῖν δ' αὖ καὶ ἐγὼ λιγεῶν μειλίγματα Μουσῶν,
οἷ' αὐταὶ παρέχουσι, καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδή.

## IDYLL. XXIV.

## ΗΡΑΚΛΙΣΚΟΣ.

Ἡρακλέα δεκάμηνον ἐόντα ποχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα, καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
ἀμφοτέρως λούσασα καὶ ἐμπλήσασα γάλακτος,
χαλκείαν κατέθηκεν ἐπ' ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.
ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων.
Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον·
εὕδετ' ἐμὰ ψυχὰ, δύ' ἀδελφεὼ, εὔσοα τέκνα,

ὄλβιοι εὐνάζοισθε, καὶ ὄλβιοι ἀῶ ἵκοισθε.
 Ὣς φαμένα δίνασε σάκος μέγα· τοὺς δ' ἔλαβ' ὕπνος.
ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κατ' αὐτὸν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον·
τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
ὦρσεν ἐπὶ πλατὺν οὐδὸν, ὅθι σταθμὰ κοῖλα θυράων
οἴκω, ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
τὼ δ' ἐξειλυσθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.
ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
καὶ τότ' ἄρ' ἐξέγροντο, Διὸς νοέοντος ἅπαντα,
Ἀλκμήνας φίλα τέκνα· φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
ἤ τοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
κοίλω ὑπὲρ σάκεος, καὶ ἀναιδέας εἶδεν ὀδόντας,
Ἰφικλέης· οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
φευγέμεν ὁρμαίνων· ὁ δ' ἐναντίος εἴχετο χερσὶν
Ἡρακλέης· ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
δραξάμενος φάρυγος, ὅθι φάρμακα λυγρὰ τέτυκται
οὐλομένοις ὀφίεσσι, τὰ καὶ θεοὶ ἐχθαίροντι.
τὼ δ' αὖτε σπείραισιν ἑλισσέσθην περὶ παῖδα
ὀψίγονον, γαλαθηνὸν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν.
ἂψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
δεσμῶ ἀναγκαίω πειρώμενοι ἔκλυσιν εὑρῆν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς, καὶ ἐπέγρετο πρᾶτα·
 Ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
ἄνστα, μηδὲ πόδεσσι τεοῖς ὑπὸ σάνδαλα θείης.
οὐκ ἀΐεις, παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;
ἢ οὐ νοέεις ὅτι νυκτὸς ἀωρί που οἱ δέ τε τοῖχοι
πάντες ἀριφραδέες, καθαρᾶς ἄτερ ἠριγενείας;
ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι, φίλ' ἀνδρῶν.
 Ὣς φάθ'· ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ὅρρ' οἱ ὕπερθε
κλιντῆρος κεδρίνω περὶ πασσάλῳ αἰὲν ἄωρτο.

ἤτοι ὅγ' ὠριγνᾶτο νεοκλώστω τελαμῶνος,
κουφίζων ἑτέρᾳ κολεὸν, μέγα λώτινον ἔργον·
ἀμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνης.
δμῶας δὴ τότ' ἄυσεν ὕπνον βαρὺν ἐκφυσῶντας.
Οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες,
δμῶες ἐμοὶ, στιβαρὼς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας·
ἄνστατε δμῶες ταλασίφρονες· αὐτὸς ἀϋτεῖ.
οἱ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστω.
ἤτοι ἄρ' ὡς εἴδοντ' ἐπιτίτθιον Ἡρακλῆα
θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα,
συμπλήγδην ἰάχησαν· ὁ δ' ἐς πατέρ' Ἀμφιτρύωνα
ἑρπετὰ δεικανάεσκεν· ἐπάλλετο δ' ὑψόθι χαίρων
κωροσύνᾳ· γελάσας δὲ, πάρος κατέθηκε ποδοῖϊν
πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
ξηρὸν ὑπαὶ δείους ἀκράχολον Ἰφικλῆα·
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν
παῖδα· πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτω.
Ὄρνιχες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,
Ἀλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμὸν,
καί νιν ὑποκρίνεσθαι ὅπως τελέεσθαι ἔμελλεν
ἠνώγει· Μηδ', εἴ τι θεοὶ νοέοντι πονηρὸν,
αἰδόμενος ἐμὲ κρύπτε· καὶ ὡς οὐκ ἔστιν ἀλύξαι
ἀνθρώποις ὅ τι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει,
μάντι Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω.
Τὼς ἔλεγεν βασίλεια· ὁ δ' ἀνταμείβετο τοίως,
θάρσει ἀριστοτόκεια γύναι, Περσήϊον αἷμα.
θάρσει· μελλόντων δὲ τὸ λώϊον ἐν φρεσὶ θέσθαι.
ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων,
πολλαὶ Ἀχαιϊάδων μαλακὸν περὶ γούνατι νῆμα
χειρὶ κατατρίψοντι, ἀκρέσπερον ἀείδοισαι
Ἀλκμήναν ὀνομαστί· σέβας δ' ἔσῃ Ἀργείαισι.
τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα

ἀμβαίνειν, τεὸς υἱὸς, ἀπὸ στέρνων πλατὺς ἥρως,
οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῆν
μόχθως· θνατὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ.
γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπώρσαν
κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
ἔσται δὴ τοῦτ' ἆμαρ ὁπανίκα νεβρὸν ἐν εὐνᾷ
καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.
ἀλλά, γύναι, πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ', ἢ παλιούρω,
ἢ βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
καῖε δὲ τώδ' ἀγρίαισιν ἐπὶ σχίζαισι δράκοντε
νυκτὶ μέσᾳ, ὅκα παῖδα κανῆν τεὸν ἤθελον αὐτοί.
ἦρι δὲ, συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τὶς,
ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέροισα,
ῥωγάδας ἐς πέτρας, ὑπερούριον· ἂψ δὲ νέεσθαι
ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
πρᾶτον· ἔπειτα δ' ἅλεσσι μεμιγμένον, ὡς νενόμισται,
θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον·
δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε.

Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
Τειρεσίας, πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ἡρακλέης δ' ὑπὸ ματρὶ, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
ἐτρέφετ', Ἀργείω κεκλημένος Ἀμφιτρύωνος.
γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
υἱὸς Ἀπόλλωνος, μελεδωνεὺς, ἄγρυπνος ἥρως·
τόξον δ' ἐντανύσαι καὶ ἐπὶ σκοπὸν εἶναι ὀϊστὸν,
Εὔρυτος, ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσεν
πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
ὅσσα δ' ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
ἀλλάλως σφάλλοντι παλαίσμασιν, ὅσσά τε πύκται
δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ' εἰς γαῖαν προπεσόντες
παμμάχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ

Ἁρπαλύκῳ Φανοτῆϊ· τὸν οὐδ' ἂν τηλόθι λεύσσων
θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι·
τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρματι, καὶ περὶ νύσσαν
ἀσφαλέως κάμπτοντα τροχῷ σύριγγα φυλάξαι,
Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν
αὐτός· ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ' ἀγώνων
Ἄργει ἐν ἱπποβότῳ κειμήλια· καὶ οἱ ἀαγεῖς
δίφροι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
δούρατι δὲ προβολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχοντα,
ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμὸν,
κοσμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμετρήσασθαι
δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ Οἰβαλίδας ἔδαεν, φυγὰς Ἄργεος ἐνθὼν,
ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
ναῖε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Κάστορι δ' οὔτις ὁμοῖος ἐν ἁμιθέοις πολεμιστὰς
ἄλλος ἔην, πρὶν γῆρας ἀποτρίψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ·
εὐνὰ δ' ἧς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρὸς,
δέρμα λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ·
δεῖπνον δὲ, κρέα τ' ὀπτὰ, καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικὸς, ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον·
εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.

## Idyll. XXVI.

## ΛΗΝΑΙ, Η ΒΑΚΧΑΙ.

Ἰνὼ, κ' Αὐτονόα, χὰ μαλοπάρῃος Ἀγαύα,
τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι·
χαὶ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα,
κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς,
ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμὼς,
τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.

ἱερὰ δ' ἐκ κίστας πεπoναμένα χερσὶν ἑλοῖσαι,
εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει,
σχῖνον ἐς ἀρχαίαν καταδὺς, ἐπιχώριον ἔρνος·
Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῖσα,
σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχω,
ἐξαπίνας ἐπιοῦσα· τὰ δ' οὐχ ὁρόωντι βέβαλοι.
μαίνετο μέν τ' αὐτὰ, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος· αἱ δ' ἐδίωκον,
πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνύαν ἐρύσασαι.
Πενθεὺς μὲν τόδ' ἔειπε, Τίνος κέχρησθε, γυναῖκες;
Αὐτονόα δὲ τόδ' εἶπε, Τάχα γνώσῃ, πρὶν ἀκοῦσαι.
μάτηρ μὲν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
ὅσσον περ τοκάδος τελέθει μύκημα λεαίνας.
Ἰνὼ δ' αὐτ' ἔῤῥηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον,
λὰξ ἐπὶ γαστέρα βᾶσα· καὶ Αὐτονόᾳ ῥυθμὸς ὠὑτός·
αἱ δ' ἄλλαι τὰ περισσὰ κρέα νομέοντο γυναῖκες,
ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
ἐξ ὄρεος πένθημα, καὶ οὐ Πενθῆα, φέροισαι.
οὐκ ἀλέγω, μηδ' ἄλλος ἀπεχθέμεναι Διονύσῳ
φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδ' ἐμόγησεν,
εἴη δ' ἐνναέτης, ἢ καὶ δεκάτω ἐπιβαίνοι.
αὐτὸς δ' εὐαγέοιμι, καὶ εὐαγέεσσιν ἅδοιμι.
ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
εὐσεβέων παίδεσσι τὰ λῷα, δυσσεβέων δ' οὔ.
χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα κάτθετο λύσας·
χαίροι δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτῆς
Καδμεῖαι, πολλαῖς μεμελημέναι ἡρωΐναις,
αἳ τόδε ἔργον ἔρεξαν, ὀρίναντος Διονύσου,
οὐκ ἐπιμωμητόν. Μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

# BION.

## Idyll. II.

ἸΞΕΥΤΑΣ ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
χαίρων ὥνεκα δὴ μέγα φαίνεται ὄρνεον αὐτῷ,
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν.
χὠ παῖς ἀσχαλόων ὅκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τάνδε τέχναν ἐδιδάξατο· καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιόων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα·
φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ·
φεῦγε μακράν· κακὸν ἐντὶ τὸ θηρίον· ὄλβιος ἔσσῃ,
εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ' αὐτῶ
ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἔπι σεῖο καθιξεῖ.

## Idyll. III.

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα,
ἐς χθόνα νευστάζοντα· τόσον δέ μοι ἔφρασε μῦθον·
μέλπειν μοι, φίλε βῶτα, λαβὼν τὸν Ἔρωτα δίδασκε.
ὣς λέγε, χ' ἁ μὲν ἀπῆνθεν, ἐγὼ δ', ὅσα βωκολίασδον,
νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον·
ὡς εὗρεν πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἁδὺς Ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
θνατῶν τ' ἀθανάτων τε πόθους, καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον,
ὅσσα δ' Ἔρως μ' ἐδίδαξεν ἐρωτύλα, πάντ' ἐδιδάχθην.

## IDYLL. V.

Οὐκ οἶδ', οὐδ' ἐπέοικεν, ἃ μὴ 'μάθομεν πονέεσθαι.
εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε Μοῖσα·
εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλήονα μοχθῆν;
εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
ἢ Κρονίδας, ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντί ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν, καὶ μήονα πάντων,
ἐς πόσον, ἆ δειλοὶ, καμάτως κεἰς ἔργα πονεῦμες;
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
λαθόμεθ' ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα,
χ' ὡς βραχὺν ἐκ Μοίρας λάχομεν χρόνον—

## IDYLL. VI.

### ΚΛΕΟΔΑΜΟΣ ΚΑΙ ΜΥΡΣΩΝ.

Κ. Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρου,
ἢ θέρεος, τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἀνίκα πάντα τελείεται, ὅσσα μογεῦμες;
ἢ γλυκερὸν φθινόπωρον, ὅκ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ
θαλπόμενοι θέλγονται ἀεργείᾳ τε καὶ ὄκνῳ·
ἤ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ, τί τοι φρὴν
αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.
Μ. κρίνειν οὐκ ἐπέοικε θεήϊα ἔργα βροτοῖσι,
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ·
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει·
οὖλον χεῖμα φέρειν, νιφετὸν κρυμούς τε φοβεῦμαι.

εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος, μήθ' ἅλιος ἄμμε βαρύνει·
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χ' ἁ νὺξ ἀνθρώποισιν ἴσα, καὶ ὁμοίϊος ἀώς.

### Idyll. IX.

Ἅμερε Κυπρογένεια, Διὸς τέκος ἠδὲ θαλάσσας,
τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
τυτθὸν ἔφαν, τί νυ τόσσον ἀπέχθεο, καὶ τί νυ αὐτᾷ,
ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τέκηαι,
ἄγριον, ἄστοργον, μορφᾷ νόον οὐδὲν ὅμοιον;
ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἄμμιν,
ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

# MOSCHUS.

## Idyll. I.

### ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

Ἁ ΚΥΠΡΙΣ τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν·
χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα.
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι, φωνὰ,
ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτὰς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει·
εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον·
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει·
βάλλει κ' εἰς Ἀχέροντα καὶ εἰς Ἀΐδεω βασιλῆα.
γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
καὶ πτερόεις, ὡς ὄρνις, ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλους
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.

τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται·
καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα, τὸν ἅλιον αὐτὸν ἀναίθει.
ἢν τύ γ' ἕλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς.
κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο, μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φαρμακόεντα.
ἢν δὲ λέγῃ, λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
μήτι θίγῃς· πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

## IDYLL. II.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς·
ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων,
λυσιμελὴς, πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ·
εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
τῆμος ὑπωροφίοισιν ἐνικνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ, ἔτι παρθένος Εὐρωπείη,
ὠΐσατ' ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι,
Ἀσίδα τ', ἀντιπέρην τε· φυὴν δ' ἔχον οἷα γυναῖκες.
τῶν δ' ἡ μὲν ξείνης μορφὴν ἔχεν· ἡ δ' ἄρ' ἐῴκει
ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιΐσχετο κούρης·
φάσκεν δ' ὥς μιν ἔτικτε, καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
ἡ δ' ἑτέρη, κρατερῇσι βιαζομένα παλάμῃσιν,
εἴρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον εἶναι
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρωπείην.
ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον·
ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δὲ
εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.

ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλε;
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
τίς δ' ἦν ἡ ξείνη, τὴν εἴσιδον ὑπνώουσα;
ὥς μ' ἔβαλε κραδίην κείνης πόθος· ὥς με καὶ αὐτὴ
ἀσπασίως ὑπέδεκτο, καὶ ὡς σφετέρην ἴδε παῖδα·
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρίνειαν ὄνειρον.
Ὣς εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας,
ἥλικας, οἰέτεας, θυμήρεας, εὐπατερείας,
τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοαῖσιν Ἀναύρω,
ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρια κέρσοι.
ταὶ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο,
τερπόμεναι ῥοδέῃ τε φυῇ, καὶ κύματος ἠχῇ.
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρωπείη,
θηητὸν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
ἤϊεν· ἡ δὲ πόρεν περικαλλεῖ Τηλεφαέσσῃ,
ἥ τε οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
μήτηρ Τηλεφάεσσα περικλυτὸν ὤπασε δῶρον.
ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα·
ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ,
εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναικός.
φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα,
νηχομένῃ ἰκέλη· κυανῆ δ' ἐτέτυκτο θάλασσα.
οἱ δέ οἱ ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
φῶτες ἀολλήδην· θηεῦντο δὲ ποντοπόρον βοῦν.
ἐν δ' ἦν Ζεὺς Κρονίδης, ἐπαφώμενος ἠρέμα χερσὶ
πόρτιος Ἰναχίης, τὴν ἑπταπόρῳ παρὰ Νείλῳ
ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
ἀργύρεος μὲν ἔην Νείλου ῥόος· ἡ δ' ἄρα πόρτις
χαλκείη· χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.

ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο
Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος, ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι·
τοῖο δὲ φοινήεντος ἀφ᾽ αἵματος ἐξανέτελλεν
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ,
ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς,
χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς·
τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
Αἱ δ᾽ ἐπεὶ οὖν λειμῶνας ἐσήλυθον ἀνθεμόεντας,
ἄλλαι ἐπ᾽ ἀλλοίοισι τότ᾽ ἄνθεσι θυμὸν ἔτερπον·
τῶν ἡ μὲν νάρκισσον εὔπνοον, ἡ δ᾽ ὑάκινθον,
ἡ δ᾽ ἴον, ἡ δ᾽ ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ᾽ ἔραζε
λειμώνων ἐαροτρεφέων πίπτεσκε πέτηλα.
αἱ δ᾽ αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἐθείρην
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέση ἔστη ἄνασσα,
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.

## Idyll. III.

## ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ.

Αἴλινά μοι στοναχεῖτε νάπαι, καὶ Δώριον ὕδωρ,
καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα·
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε·
ἄνθεά τε στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις·
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμώνα·
νῦν, ὑάκινθε, λάλει τὰ σὰ γράμματα, καὶ πλέον αἲ αἲ
βάμβαλε σοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
ἀδόνες, αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
ὅττι Βίων τέθνακεν ὁ βωκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε, καὶ ὤλετο Δωρὶς ἀοιδά.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.

Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδὰν,
οἵαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν·
εἴπατε δ' αὖ κώραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις νύμφαισιν, Ἀπώλετο Δώριος Ὀρφεύς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
κεῖνος, ὁ ταῖς ἀγέλαισιν ἐράσμιος, οὐκέτι μέλπει,
οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
ἀλλὰ παρὰ Πλουτῆϊ μέλος Ληθαῖον ἀείδει·
ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες, αἱ ποτὶ ταύροις
πλασδόμεναι, γοάοντι, καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
σεῖο, Βίων, ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων.
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος, αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο·
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇς,
κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα· σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη·
μάλων οὐκ ἔῤῥευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων·
κάτθανε δ' ἐν καρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ,
τῶ μέλιτος τῶ σῶ τεθνακότος, αὐτὸ τρυγᾶσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
οὐ τόσον εἰναλίαισι παρ' ᾀόσι μύρατο δελφὶν,
οὐδὲ τόσον ποκ' ἄεισεν ἐνὶ σκοπέλοισιν ἀηδὼν,
οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδὼν,
Ἁλκυόνος δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε Κήϋξ,
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι Κηρύλος ᾆδεν,
οὐ τόσον ᾀῴοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς,
ἱπτάμενος περὶ σᾶμα, κινύρατο Μέμνονος ὄρνις,
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
ἀδονίδες, πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
ἃς λαλέειν ἐδίδασκε, καθεσδόμεναι ποτὶ πρέμνοις,
ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν

ὄρνιθες, Λυπεῖσθε Πελειάδες ἀλλὰ καὶ ὑμεῖς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
τίς ποτὶ σᾷ σύριγγι μελίξεται, ὦ τριπόθατε;
τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα; τίς θρασὺς οὕτως;
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα, καὶ τὸ σὸν ἆσθμα·
Ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἐπιβόσκετ' ἀοιδᾶς.
Πανὶ φέρω τὸ μέλιγμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἅν ποκ' ἔτερπες
ἑσδομέναν περὶ σεῖο παρ' ἀϊόνεσσι θαλάσσας.
οὐ γὰρ ἶσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας·
καὶ νῦν λασαμένα τῶ κύματος, ἐν ψαμάθοισιν
ἕσδετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
πάντα τοι, ὦ βῶτα, συγκάτθανε δῶρα τὰ Μοισᾶν,
καὶ στυγνοὶ περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.
τοῦτό τοι, ὦ ποταμῶν λιγυρώτατε, δεύτερον ἄλγος,
τοῦτο, Μέλη, νέον ἄλγος· ἀπώλετο πράν τοι Ὅμηρος,
τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
μύρεσθαι καλὸν υἷα πολυκλαύστοισι ῥεέθροις·
πᾶσαν δ' ἔπλησας φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
ἀμφότεροι παγαῖς πεφιλαμένοι· ὃς μὲν ἔπινε
Παγασίδος κράνας, ὁ δὲ πῶμ' ἔχε τᾶς Ἀρεθοίσας.
χὠ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα,
καὶ Θέτιδος μέγαν υἷα, καὶ Ἀτρείδαν Μενέλαον,
κεῖνος δ' οὐ πολέμως, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
καὶ βώτας ἐλίγαινε, καὶ ἀείδων ἐνόμευε,
καὶ σύριγγας ἔτευχε, καὶ ἁδέα πόρτιν ἄμελγε.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
πᾶσα, Βίων, θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα·
Ἄσκρα μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες Ὕλαι·

οὐ τόσον Ἀλκαίῳ πέρι μύρατο Λέσβος ἐραννά.
οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Τήϊον ἄστυ·
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος, ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλιγμα κινύρεται ἁ Μιτυλάνα.
πάντες ὅσοις καπυρὸν τελέθει στόμα, βωκολιασταὶ
ἐκ Μοισᾶν, σέο πότμον ἀνακλαίοντι θανόντος·
κλαίει Σικελίδας, τὸ Σάμου κλέος, ἐν δὲ Κύδωσιν
ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι,
δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς·
ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύρας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
βουκολικᾶς, ἀλλ' ἅν τ' ἐδιδάξαο σεῖο μαθητὰς,
κλαρονόμος Μώσας τᾶς Δωρίδος· ἄμμε γεραίρων,
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
αἲ, αἲ, ταὶ μαλάχαι μὲν, ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἢ τὰ χλωρὰ σέλινα, τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
ὕστερον αὖ ζώοντι, καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ', οἱ μεγάλοι καὶ καρτεροὶ ἢ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν, ἀτέρμονα, νήγρετον ὕπνον.
καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν·
τῷ δ' ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
φάρμακον ἦλθε, Βίων, ποτὶ σὸν στόμα, φάρμακον εἶδες·
πῶς τευ τοῖς χείλεσσι ποτέδραμε, κοὐκ ἐγλυκάνθη;
τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος, ἢ κεράσαι τοι,
ἢ δοῦναι λαλέοντι τὸ φάρμακον, ἢ φύγεν ᾠδάν;
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
ἀλλὰ δίκα κίχε πάντας· ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
δακρυχέων τεὸν οἶτον ὀδύρομαι· εἰ δυνάμαν δὲ,
ὡς Ὀρφεὺς καταβὰς ποτὶ τάρταρον, ὥς ποκ' Ὀδυσσεὺς,
ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον

Πλουτέος, ὥς κεν ἴδοιμι, καὶ εἰ Πλουτῆϊ μελίσδεις,
ὡς ἂν ἀκουσαίμαν τί μελίσδεαι. ἀλλ᾽ ἐπὶ Κώρᾳ
Σικελικόν τι λίγαινε, καὶ ἁδύ τι βωκολιάσδευ.
Σικελικὰ κᾀκείνα ἐν Αἰτναίοισιν ἔπαιζεν
ἀόσι, καὶ μέλος οἶδε τὸ Δώριον· οὐκ ἀγέραστος
ἐσσεῖτ᾽ ἁ μολπά. χ᾽ ὡς Ὀρφέϊ πρόσθεν ἔδωκεν
ἁδέα φορμίσδοντι παλίσσυτον Εὐρυδίκειαν,
καί σε, Βίων, πεμψεῖ τοῖς ὤρεσιν. εἰ δέ τι κἠγὼν
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ κ᾽ αὐτὸς ἄειδον.

# ARATUS.

FLOR. CIRCA CCLXXV. ANNUM ANTE CHRISTUM.

PHÆNOMENA, v. 1.
DIOSEMEIA, v. 148.

# ARATUS.

## PHÆNOMENA.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα
καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος εἰμέν· ὁ δ' ἤπιος ἀνθρώποισιν
δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει
μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι
καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι.
αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν
ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ
αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ Μοῦσαι
μειλίχιαι μάλα πᾶσιν· ἐμοί γε μὲν ἀστέρας εἰπεῖν
ᾗ θέμις εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.
Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἰόντες
οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί·
αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αὔτως
ἄξων αἰὲν ἄρηρεν, ἔχει δ' ἀτάλαντον ἁπάντη
μεσσηγὺς γαῖαν, περὶ δ' οὐρανὸν αὐτὸν ἀγινεῖ.
καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν·
ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ βορέαο
ὑψόθεν ὠκεανοῖο· δύω δέ μιν ἀμφὶς ἔχουσαι
Αρκτοι ἅμα τροχόωσι, τὸ δὴ καλέονται Ἅμαξαι.
αἱ δ' ἤτοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν

ἀλλήλων, αἰεὶ δὲ κατωμάδιαι φορέονται,
ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
οὐρανὸν εἰσανέβησαν, ὅ μιν τοτὲ κουρίζοντα
Δίκτῳ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίοιο,
ἄντρῳ ἐγκατέθεντο καὶ ἔτρεφον εἰς ἐνιαυτὸν,
Δικταῖοι Κούρητες ὅτε Κρόνον ἐψεύδοντο.
καὶ τὴν μὲν Κυνόσουραν ἐπίκλησιν καλέουσιν,
τὴν δ' ἑτέρην, Ἑλίκην. Ἑλίκῃ γε μὲν ἄνδρες Ἀχαιοὶ
εἰν ἁλὶ τεκμαίρονται ἵνα χρὴ νῆας ἀγινεῖν·
τῇ δ' ἄρα Φοίνικες πίσυνοι περόωσι θάλασσαν.
ἀλλ' ἡ μὲν καθαρὴ καὶ ἐπιφράσσασθαι ἑτοίμη
πολλὴ φαινομένη Ἑλίκη πρώτης ἀπὸ νυκτός·
ἡ δ' ἑτέρη ὀλίγη μέν, ἀτὰρ ναύτῃσιν ἀρείων·
μειοτέρῃ γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι·
τῇ καὶ Σιδόνιοι ἰθύντατα ναυτίλλονται.
Τὰς δὲ δι' ἀμφοτέρας οἵῃ ποταμοῖο ἀπορρὼξ
εἰλεῖται μέγα θαῦμα, Δράκων, περί τ' ἀμφί τ' ἐαγὼς
μυρίος· αἱ δ' ἄρα οἱ σπείρης ἑκάτερθε φέρονται
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
οὐρὴ πὰρ κεφαλὴν Ἑλίκης ἀποπαύεται ἄρκτου·
σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν
εἰλεῖται κεφαλήν, καί οἱ ποδὸς ἔρχεται ἄχρις,
ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνῃ
οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ,
ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν· εἷς δ' ὑπένερθεν
ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθὺ
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
κείνη που κεφαλὴ τῇ νίσσεται, ἧχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.
Τῆς δ' ἀγχοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,

οὐδ' ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὔτως
Ἐγγόνασιν καλέουσι. τὸ δ' αὖτ' ἐν γούνασι κάμνον
ὀκλάζοντι ἔοικεν· ἀπ' ἀμφοτέρων δέ οἱ ὤμων
χεῖρες ἀείρονται· τάνυταί γε μὲν ἄλλυδις ἄλλη
ὅσσον ἐπ' ὀργυιήν. μέσσῳ δ' ἐφύπερθε καρήνῳ
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.
Αὐτοῦ κἀκεῖνος Στέφανος, τὸν ἀγαυὸν ἔθηκεν
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης,
νώτῳ ὑποστρέφεται κεκμηότος εἰδώλοιο.
Νώτῳ μὲν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον, ἐκ δ' ἄρ' ἐκείνης
αὐτὸν ἐπιφράσσαιο φαεινόμενον Ὀφιοῦχον·
τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
εἴδονται. κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
εἰσωποὶ τελέθοιεν· ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
λεπτὴ γὰρ καὶ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
ἀλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι· οὐ γὰρ ἐλαφραί.
ἀμφότεραι δ' Ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον
δινεύει Ὀφιοῦχον· ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς
ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν,
Σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
ὀρθός. ἀτάρ οἱ Ὄφις γε δύο στρέφεται μετὰ χερσὶν,
δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια·
νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο Χηλάς.
ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαυαί.
Ἐξόπιθεν δ' Ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
Ἀρκτοφύλαξ, τόν ῥ' ἄνδρες ἐπικλείουσι Βοώτην,
οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται Ἄρκτου.
καὶ μάλα πᾶς ἀρίδηλος· ὑπὸ ζώνῃ δέ οἱ αὐτὸς
ἐξ ἄλλων Ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέπτειο Βοώτεω
Παρθένον, ἥ ῥ' ἐν χερσὶ φέρει Στάχυν αἰγλήεντα.
εἴτ' οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτέ τευ ἄλλου,
εὔκηλος φορέοιτο. λόγος γε μὲν ἐντρέχει ἄλλος

ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
ἤρχετο δ' ἀνθρώπων κατεναντίη, οὐδέ ποτ' ἀνδρῶν
οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα.
καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας
ἠέ που εἰν ἀγορῇ ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ·
αὔτως δ' ἔζωον. χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον·
ἀλλὰ βόες καὶ ἄροτρα καὶ αὐτὴ πότνια λαῶν
μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.
τόφρ' ἦν ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ὁμοίη
ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
ἤρχετο δ' ἐξ ὀρέων ὑποδείελος ἠχηέντων
μουνάξ. οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν·
ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
ἠπείλει δὴ ἔπειτα καθαπτομένη κακότητος,
οὐδ' ἔτ', ἔφη, εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν.
οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
χειροτέρην· ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
ἔσσεται ἀνθρώποισι, κακοῖς δ' ἐπικείσεται ἄλγος.
ὣς εἰποῦσ' ὀρέων ἐπεμαίετο, τοὺς δ' ἄρα λαοὺς
εἰς αὐτὴν ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
χαλκείη γενεὴ, προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων,
καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν
ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην,
ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισιν
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτεω.

# DIOSEMEIA.

## V. 880.

Σκέπτεο δ' ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
εἴ πού οἱ νεφέων, τὰ παρήλια κικλήσκονται,
ἢ νότου ἠὲ βορῆος ἐρεύθεται ἢ ἑκάτερθεν.
μηδ' οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν·
οὐ γάρ, ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχουσιν
ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο,
γίνεται ἀμβολίη Διόθεν χειμῶνος ἰόντος.
εἴ γε μὲν ἐκ βορέαο μί' αἴη φοινίσσοιτο,
ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο,
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ' ὑετοῖο.
Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις·
ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.
Σκέπτεο καὶ Φάτνην. ἡ μέν τ' ὀλίγῃ εἰκυῖα
ἀχλύϊ βορραίῃ ὑπὸ Καρκίνῳ ἠγηλάζει·
ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι οὔτε μάλ' ἐγγύς,
ἀλλ' ὅσσον τε μάλιστα πυγούσιον οἰήσασθαι,
εἷς μὲν πὰρ βορέαο· νότῳ δ' ἐπικέκλιται ἄλλος.
καὶ τοὶ μὲν καλέονται Ὄνοι, μέσση δέ τε Φάτνη,
ἥτε καὶ ἐξαπίνης πάντῃ Διὸς εὐδιόωντος
γίνετ' ἄφαντος ὅλη· τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται·
οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
ἀστέρες ἀμφότεροι, περί χ' ὕδατι σημαίνοιεν.
εἰ δ' ὁ μὲν ἐκ βορέω Φάτνης ἀμενηνὰ φαείνοι
λεπτὸν ἐπαχλυόων, νότιος δ' Ὄνος ἀγλαὸς εἴη,
δειδέχθαι ἀνέμοιο νότου· βορέω δὲ μάλα χρὴ
ἔμπαλιν ἀχλυόεντι φαεινομένῳ τε δοκεύειν.
Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
γινέσθω, καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,

ἀκταί τ' εἰνάλιοι ὁπότ' εὔδιοι ἠχήεσσαι
γίνονται, κορυφαί τε βοώμεναι οὔρεος ἄκραι.
Καὶ δ' ἂν ἐπὶ ξηρὴν ὅτ' ἐρωδιὸς οὐ κατὰ κόσμον
ἐξ ἁλὸς ἔρχηται φωνῇ περίαλλα λεληκώς,
κινυμένου κε θάλασσαν ὕπερ φορέοιτ' ἀνέμοιο.
καί ποτε καὶ κέπφοι, ὁπότ' εὔδιοι ποτέονται,
ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
πολλάκι δ' ἀγριάδες νῆσσαι ἢ εἰναλίδιναι
αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσσιν·
ἢ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
ἤδη καὶ πάπποι, λευκῆς γήρειον ἀκάνθης,
σῆμ' ἐγένοντ' ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολλοὶ
ἄκρον ἐπιπλείωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω.
Καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.
καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀΐσσωσιν
ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ὑπολευκαίνωνται,
δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
πνεύματος· ἢν δὲ καὶ ἄλλοι ἐναντίοι ἀΐσσωσιν,
ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα,
ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.
αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτησιν,
ἄλλοτε δ' ἐκ ζεφύροιο καὶ ἄλλοτε πὰρ βορέαο,
δὴ τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνὴρ
μή μιν τῇ μὲν ἔχῃ πέλαγος τῇ δ' ἐκ Διὸς ὕδωρ·
ὕδατι γὰρ τοσσαίδε περὶ στεροπαὶ φορέονται.
πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροιθεν
οἷα μάλιστα πόκοισιν ἐοικότες ἰνδάλλονται·
ἢ διδύμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις·
ἢ καί πού τις ἅλωα μελαινομένην ἔχει ἀστήρ.
Πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες
ἄπληστον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν·
ἢ λίμνην πέρι δηθὰ χελιδόνες ἀΐσσονται
γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ·
ἢ μᾶλλον δειλαὶ γενεαί, ὕδροισιν ὄνειαρ,

αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων·
ἢ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγών·
ἢ που καὶ λακέρυζα παρ᾽ ἠϊόνι προὐχούσῃ
χείματος ἐρχομένου χέρσῳ ὑπέτυψε κορώνη,
ἤ που καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ᾽ ἄκρους
ὤμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
ἢ πολλὴ στρέφεται παρ᾽ ὕδωρ παχέα κρώζουσα.
Καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐνδίοιο
οὐρανὸν εἰσανιδόντες ἀπ᾽ αἰθέρος ὠσφρήσαντο·
καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
θᾶσσον ἀνηνέγκαντο· καὶ ἀθρόοι ὦφθεν ἴουλοι
τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες
κεῖνοι τοὺς καλέουσι μελαίνης ἔντερα γαίης.
καὶ τιθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,
εὖ ἐφθειρίσσαντο καὶ ἔκρωξαν μάλα φωνῇ,
οἷόν τε σταλάον ψοφέει ἐπὶ ὕδατι ὕδωρ.
δή ποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν
ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ᾽ ἐγένοντο,
φαινόμενοι ἀγεληδὰ καὶ ἰρήκεσσιν ὁμοῖον
φθεγξάμενοι. καί που κόρακες δίους σταλαγμοὺς
φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο,
ἤ ποτε καὶ κρώξαντε βαρείῃ δισσάκι φωνῇ
μακρὸν ἐπιῤῥοιζεῦσι τιναξάμενοι πτερὰ πυκνά.
καὶ νῆσσαι οἰκουροὶ ὑπωρόφιοί τε κολοιοὶ
ἐρχόμενοι κατὰ γεῖσσα τινάσσονται πτερύγεσσιν·
ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λεληκώς.
Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
γινέσθω, μηδ᾽ εἴ κεν ἐπιπλέον ἠὲ πάροιθεν
δάκνωσιν μυῖαι καὶ ἐφ᾽ αἵματος ἱμείρωνται,
ἢ λύχνοιο μύκητες ἀγείρωνται περὶ μύξαν
νύκτα κατὰ σκοτίην· μηδ᾽ ἢν ὑπὸ χείματος ὥρην
λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρῃ,
ἄλλοτε δ᾽ αἴσσωσιν ἄπο φλόγες, ἠΰτε κοῦφαι
πομφόλυγες· μηδ᾽ εἴ κεν ἐπ᾽ αὐτόφι μαρμαίρωσιν
ἀκτῖνες· μηδ᾽ ἢν θέρεος μέγα πεπταμένοιο
νησαῖοι ὄρνιθες ἐπασσύτεροι φορέωνται.

μηδὲ σύ γ' ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω,
σπινθῆρες ὅτ' ἔωσι περιπλέονες, λελαθέσθαι,
μηδὲ κατὰ σποδιὴν ὁπότ' ἄνθρακος αἰθομένοιο
λάμπηται πέρι σήματ' ἐοικότα κεγχρείοισιν.
ἀλλ' ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.
Εἴ γε μὲν ἠερόεσσα παρὲξ ὄρεος μεγάλοιο
πυθμένα τείνηται νεφέλη, ἄκραι δὲ κολῶναι
φαίνωνται καθαραί, μάλα κεν τόθ' ὑπεύδιος εἴης.
εὔδιός κ' εἴης καὶ ὅτε πλατέος παρὰ πόντου
φαίνηται χθαμαλὴ νεφέλη, μηδ' ὑψόθι κύρῃ,
ἀλλ' αὐτοῦ πλαταμῶνι παραθλίβηται ὁμοίη.
Σκέπτεο δ' εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
ἐς δὲ γαληναίην χειμωνόθεν. εὖ δὲ μάλα χρὴ
ἐς Φάτνην ὁράαν, τὴν Καρκίνος ἀμφιελίσσει,
πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὀμίχλης·
κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.
Καὶ φλόγες ἡσύχιαι λύχνων καὶ νυκτερίη γλαὺξ
ἥσυχον ἀείδουσα μαραινομένου χειμῶνος
γινέσθω τοι σῆμα· καὶ εἰ λίγα κωτίλλουσα
ὥρῃ ἐν ἑσπερίῃ κρώζῃ πολύφωνα κορώνη·
καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοόωντες
δισσάκις, αὐτὰρ ἔπειτα μέγ' ἀθρόα κεκλήγοντες·
πλειότεροι δ' ἀγεληδόν, ἐπὴν κοίτοιο μέδωνται,
φωνῆς ἔμπλειοι· χαίρειν κέ τις ὠΐσαιτο,
οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα,
πολλὰ δὲ δενδρείοιο περὶ φλόον, ἄλλοτ' ἐπ' αὐτοῦ
ἧχί τε κείουσιν καὶ ὑπότροποι ἀπτερύονται.
καὶ δ' ἄν που γέρανοι μαλακῆς προπάροιθε γαλήνης
ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο.
Ἦμος δ' ἀστερόθεν καθαρὸν φάος ἀμβλύνηται,
οὐδέ ποθεν νεφέλαι πεπιεσμέναι ἀντιόωσιν,
οὐδέ ποθεν ζόφος ἄλλος ὑποτρέχῃ οὐδὲ σελήνη,
ἀλλὰ τάγ' ἐξαπίνης αὔτως ἀμενηνὰ φέρωνται,
μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
ἀλλ' ἐπὶ χεῖμα δόκευε· καὶ ὁππότε ταὶ μὲν ἔωσιν

αὐτῇ ἐνὶ χώρῃ νεφέλαι, ταὶ δ' ἄλλαι ὑπ' αὐταῖς
ταὶ μὲν ἀμειβόμεναι ταὶ δ' ἐξόπιθεν φορέωνται.
Καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρωμοῖο
χειμῶνος μέγα σῆμα, καὶ ἐννεάνειρα κορώνη
νύκτερον ἀείδουσα, καὶ ὀψὲ βοῶντε κολοιοὶ,
καὶ σπίνος ἠῷα σπίζων, καὶ ὄρνεα πάντα
ἐκ πελάγους φεύγοντα, καὶ ὀρχίλος ἢ καὶ ἐριθεὺς
δύνων ἐς κοίλας ὀχεὰς, καὶ φῦλα κολοιῶν
ἐκ νομοῦ ἐρχόμενα τραφερῷ ἐπὶ ὄψιον αὖλιν.
οὐδ' ἂν ἔτι ξουθαὶ μεγάλου χειμῶνος ἰόντος
πρόσσω ποιήσαιντο νομὸν κηροῖο μέλισσαι,
ἀλλ' αὐτοῦ μέλιτός τε καὶ ἔργων εἱλίσσονται·
οὐδ' ὑψοῦ γεράνων μακραὶ στίχες αὐτὰ κέλευθα
τείνονται, στροφάδες δὲ παλιμπετὲς ἀπονέονται.
μηδ' ὅτε νηνεμίη κεν ἀράχνια λεπτὰ φέρηται
καὶ φλόγες αἰθύσσωσι μαραινομένου λύχνοιο,
ἢ πῦρ αὔηται σπουδῇ καὶ ὑπεύδια λύχνα,
πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
σήματ' ἐπ' ἀνθρώπους; δὴ γὰρ καὶ ἀεικεῖ τέφρῃ
αὐτοῦ πηγνυμένῃ νιφετοῦ ἐπιτεκμήραιο·
καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ' ἐοικότα πάντῃ
κύκλῳ σήματ' ἔχει πυριλαμπέος ἐγγύθι μύξης·
ἄνθρακι δὲ ζώοντι χαλάζης, ὁππότε λαμπρὸς
αὐτὸς ἐείδηται, μέσσῳ δέ οἱ ἠΰτε λεπτὴ
φαίνηται νεφέλη πυρὸς ἔνδοθεν αἰθομένοιο.
Πρῖνοι δ' αὖ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι
σχῖνοι ἀπείρητοι· πάντῃ δέ τε πολλὸς ἀλωεὺς
αἰεὶ παπταίνει, μή οἱ θέρος ἐκ χερὸς ἔῤῥῃ.
πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι
χειμῶνός κε λέγοιεν ἐπιπλέον ἰσχύσοντος.
μὴ μὲν ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντῃ,
τηλοτέρω δ' αὐχμοῖο συνασταχύοιεν ἄρουραι.
τριπλόα δὲ σχῖνος κυέει, τρισσαὶ δέ οἱ αὖξαι
γίνονται καρποῖο, φέρει δέ τε σήμαθ' ἑκάστη
ἑξείης ἀρότῳ. καὶ γάρ τ' ἀροτήσιον ὥρην
τριπλόα μείρονται, μέσσην καὶ ἐπ' ἀμφότερ' ἄκρα·

πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην
καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται,
κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση.
αὔτως δ' ἀνθέρικος τριχθὰ σκίλλης ὑπερανθεῖ,
σήματ' ἐπιφράσσασθαι ὁμοίϊον ἀμήτοιο.
ὅσσα δ' ἐνὶ σχίνου ἀρετὴρ ἐφράσσατο καρπῷ,
τόσσα δὲ καὶ σκίλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.

# APOLLONIUS RHODIUS.

FLOR. CIRCA CCLX. ANNUM ANTE CHRISTUM.

## ARGONAUTICA. LIB. III.

# APOLLONIUS RHODIUS.

## ARGONAUTICA. LIB. III.

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο, καί μοι ἔνισπε
ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
Μηδείης ὑπ' ἔρωτι· σὺ γὰρ καὶ Κύπριδος αἶσαν
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
παρθενικάς· τῷ καί οἱ ἐπήρατον οὔνομ' ἀνῆπται.
Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσι
μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν,
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
ἀθανάτων ἀπονόσφι Θεῶν θαλαμόνδε κιοῦσαι
βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη.
Αὐτὴ νῦν προτέρη, θύγατερ Διὸς, ἄρχεο βουλῆς,
τί χρέος, ἠὲ δόλον τίνα μήσεαι, ᾧ κεν ἑλόντες
χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο·
ἢ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
μειλιχίοις· ἦ γὰρ ὅγ' ὑπερφίαλος πέλει αἰνῶς·
ἔμπης δ' οὔτινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν.
Ὣς φάτο· τὴν δὲ παρ' ἄσσον Ἀθηναίη προσέειπεν.
καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν
Ἥρη ἀπηλεγέως ἐξείρεαι· ἀλλά τοι οὔπω
φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς.
Ἦ, καὶ ἐπ' οὔδεος αἵγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον.
δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴκε πίθηται
κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσι

θέλξαι ὀϊστεύσας ἐπ' Ἰήσονι· τὸν δ' ἂν ὀΐω
κείνης αἰνεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν.
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ·
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν·
Ἥρη, νήϊδα μέν με πατὴρ τέκε τοῖο βολάων,
οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
ἑσποίμην, σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
ὁππότε μιν ταπρῶτα παρὰ Διὸς ἦγεν ἄκοιτιν.
ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
ἕσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
νήσοιο πλαγκτῆς εὐρὺν μυχόν· ᾧ ἔνι πάντα
δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ' ἄρα μούνη
ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον ἄντα θυράων.
λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
κόσμει χρυσείῃ διὰ κερκίδι· μέλλε δὲ μακροὺς
πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
εἷσε τ' ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν.
Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔ τι πάρος γε
λίην φοιτίζουσαι; ἐπεὶ περίεστε θεάων.
Τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν.
κερτομέεις, νῶϊν δὲ κέαρ συνορίνεται ἄτῃ.
ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
Αἰσονίδης, ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται.
τῶν ἤτοι πάντων μὲν ἐπεὶ πέλας ἔργον ὄρωρεν,
δείδιμεν ἐκπάγλως, περὶ δ' Αἰσονίδαο μάλιστα·
τὸν μὲν ἐγών, εἰ καί περ ἐς Ἄϊδα ναυτίλληται,
λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,

ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων,
ἐξότ' ἐπὶ προχοῇσιν ἄλις πλήθοντος Ἀναύρου,
ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν
θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα
οὔρεα καὶ σκοπιαὶ περιμήκεες· οἱ δὲ κατ' αὐτῶν
χείμαῤῥοι καναχηδὰ κυλινδόμενοι φορέοντο.
γρηῒ δέ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
αὐτὸς ἑοῖς ὤμοισι διὲκ προαλὲς φέρεν ὕδωρ.
τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
τίσειεν Πελίης, εἰ μὴ σύ γε νόστον ὀπάσσεις.
Ὣς ηὔδα· Κύπριν δὲ νεοστασίη λάβε μύθων.
ἅζετο δ' ἀντομένην Ἥρην ἔθεν εἰσορόωσα·
καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥ γ' ἐπέεσσι.
πότνα θεά, μήτοι τὶ κακώτερον ἄλλο πέλοιτο
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν
ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω.
Ὣς ἔφαθ'. Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν.
οὔτι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ,
παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
ῥηϊδίως μὶν ἑλόντα δέρος χρύσειον ὀΐω
νοστήσειν ἐς Ἰωλκόν· ἐπεὶ δολόεσσα τέτυκται.
Ὣς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν.
Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
ἢ ἐμοί· ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,
αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀϊστοὺς
ἀμφαδίην· τοῖον γὰρ ἐπηπείλησε χαλεφθεὶς,
εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
ἕξω ἐμὰς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ.

Ὣς φάτο· μείδησαν δὲ θεαί, καὶ ἐσέδρακον ἄντην
ἀλλήλαις· ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν.
ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
πειρήσω, καί μιν μειλίξομαι· οὐδ' ἀπιθήσει.
Ὣς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός·
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν.
οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ' ἐρίδαινε
χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.
Ἦ ῥα, καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι· ἡ δὲ καὶ αὐτὴ
βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
εὗρε δὲ τόνγ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
οὐκ οἶον· μετὰ καὶ Γανυμήδεα, τόν ῥα ποτὲ Ζεὺς
οὐρανῷ ἐγκατένασσ'· ἀμφ' ἀστραγάλοισι δὲ τώγε
χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
καί ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ
μάργος Ἔρως λαιῆς ὑποίσχανε χειρὸς ἀγοστὸν,
ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
χροιῇ θάλλεν ἔρευθος. Ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
σῖγα κατηφιόων, δοιὼ δ' ἔχεν, ἄλλον ἔθ' αὔτως
ἄλλῳ ἐπιπροϊείς· κεχόλωτο δὲ καγχαλόωντι.
καὶ μὴν τούς γε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησε
Κύπριν ἐπιπλομένην· ἡ δ' ἀντίη ἵστατο παιδὸς,
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπεν.
Τίπτ' ἐπιμειδιάας, ἄφατον κακόν; ἦέ μιν αὔτως
ἤπαφες, οὐδὲ δίκῃ περιέπλεο νῆϊν ἐόντα;
εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος, ὅ, ττι κεν εἴπω·
καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
κεῖνο, τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
σφαῖραν ἐΰτρόχαλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.

χρύσεα μέν οἱ κύκλα τετεύχαται, ἀμφὶ δ᾽ ἑκάστῳ
διπλόαι ἀψῖδες περιηγέες εἱλίσσονται.
κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ᾽ ἐπιδέδρομε πάσαις
κυανέη· ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
ἀστὴρ ὥς, φλεγέθοντα δι᾽ ἠέρος ὁλκὸν ἵησιν.
τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο
θέλξον ὀϊστεύσας ἐπ᾽ Ἰήσονι· μηδέ τις ἔστω
ἀμβολίη· δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη.
Ὣς φάτο· τῷ δ᾽ ἀσπαστὸν ἔπος γένετ᾽ εἰσαΐοντι.
μείλια δ᾽ ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς·
λίσσετο δ᾽ αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ᾽ ἀγανοῖσιν
ἀντομένη μύθοισιν, ἐπειρύσασα παρειὰς,
κῦσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα.
Ἴστω νῦν τόδε σεῖο φίλον κάρη, ἠδ᾽ ἐμὸν αὐτῆς,
ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐδ᾽ ἀπατήσω,
εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο.
Φῆ· ὁ δ᾽ ἄρ᾽ ἀστραγάλους συναμήσατο, καδδὲ φαεινῷ
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
αὐτίκα δ᾽ ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ,
πρέμνῳ κεκλιμένην· ἀνὰ δ᾽ ἀγκύλον εἵλετο τόξον·
βῆ δὲ διὲκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός· ἧχί τ᾽ ἀερθεὶς
ἠέλιος πρώτῃσιν ἐρεύθεται ἀκτίνεσσιν.
νειόθι δ᾽ ἄλλοθι γαῖα φερέσβιος, ἄστεά τ᾽ ἀνδρῶν
φαίνετο, καὶ ποταμῶν ἱεραὶ ῥοαί· ἄλλοτε δ᾽ αὖτε
ἄκριες, ἀμφὶ δὲ πόντος ἀν᾽ αἰθέρα πολλὸν ἰόντι.
Ἥρωες δ᾽ ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς
ἐν ποταμῷ καθ᾽ ἕλος λελοχημένοι ἠγορόωντο·
αὐτὸς δ᾽ Αἰσονίδης μετεφώνεεν· οἱ δ᾽ ὑπάκουον,
ἠρέμα ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ
ἐξερέω· τοῦ δ᾽ ὔμμι τέλος κρηῆναι ἔοικεν.

ξυνὴ γὰρ χρειὼ, ξυνοὶ δέ τε μῦθοι ἔασιν
πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων,
ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
ὧλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι.
αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο
υἷας ἑλὼν Φρίξοιο, δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
ἠὲ καὶ οὔ· πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες,
φρασσόμεθ' εἴτ' Ἄρηϊ συνοισόμεθ', εἴτε τις ἄλλη
μῆτις ἐπίῤῥοθος ἔσται ἐεργομένοισιν ἀϋτῆς.
μηδ' αὔτως ἀλκῇ πρὶν ἔπεσσί γε πειρηθῆναι,
τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας· ἀλλὰ πάροιθεν
λωΐτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
πολλάκι τοι ῥέα μῦθος ὅ κεν μόλις ἐξανύσειεν
ἠνορέη, τόδ' ἔρεξε κατὰ χρέος, ἧπερ ἐῴκει
πρηΰνας. ὁ δὲ καὶ πότ' ἀμύμονα Φρίξον ἔδεκτο
μητρυιῆς φεύγοντα δόλον, πατρός τε θυηλάς.
πάντες ἐπεὶ πάντῃ, καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
ξεινίου αἰδεῖται Ζηνὸς θέμιν, ἠδ' ἀλεγίζει.
Ὣς φάτ'· ἐπῄνεσσαν δὲ νέοι ἔπος Αἰσονίδαο
πασσυδίῃ, οὐδ' ἔσκε παρὲξ ὅ τις ἄλλο κελεύοι.
καὶ τότ' ἄρ' υἱῆας Φρίξου, Τελαμῶνά θ' ἕπεσθαι
ὦρσε, καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
σκῆπτρον· ἄφαρ δ' ἀνὰ νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ
ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν.
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
δέσμιοι· εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐ δ' ἐνὶ γαίῃ
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι·
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις.
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος· ἠέρι δ' ἴσην
καὶ χθὼν ἔμμορεν αἶσαν· ἐπὶ χθονὶ ταρχύουσι

θηλυτέρας· ἦ γάρ κε δίκη θεσμοῖο τέτυκται.
  Τοῖσι δὲ νεισομένοις Ἥρη φίλα μητιόωσα
ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν
Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες.
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος,
εὐρείας τε πύλας, καὶ κίονας οἳ περὶ τοίχους
ἑξείης ἀνέχον· θριγγὸς δ' ἐφύπερθε δόμοιο
λαΐνεος χαλκέῃσιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν· ἄγχι δὲ τοῖο
ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον· αἱ δ' ὑπὸ τῇσιν
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος· καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
ἡ δ' οἴνῳ· τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·
ἡ δ' ἄρ' ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
θέρμετο Πληϊάδεσσιν· ἀμοιβηδὶς δ' ἀνιούσαις
κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
τοῖ' ἄρ' ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
καί οἱ χαλκόποδας ταύρους κάμε· χάλκεα δὲ σφέων
ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον.
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
ἤλασεν, ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
δέξατο Φλεγραίῃ κεκμηκότα δηϊότητι.
ἔνθα δὲ καὶ μέσσαυλος ἐλήλατο· τῇ δ' ἐπὶ πολλαὶ
δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα.
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
τῶν ἤτοι ἄλλον μὲν, ὅ τις καὶ ὑπείροχος ἦεν,
κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο,
τὸν μὲν Καυκασίη Νύμφη τέκεν Ἀστερόδεια,
πρίν περ κουριδίην θέσθαι Εἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.

καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠϊθέοισιν.
τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
ἄμφω, Χαλκιόπη Μήδειά τε· τὴν μὲν ἄρ' οἵ γε
ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσα,
(Ἥρη γάρ μιν ἔρυκε δόμῳ, πρὶν δ' οὔτι θάμιζεν
ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
νηόν, ἐπεί ῥα Θεῆς αὐτὴ πέλεν ἀρήτειρα)
καί σφεας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσεν
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
νήματα καὶ κλωστῆρας, ἀολλέες ἔκτοθι πᾶσαι
ἔδραμον· ἡ δ' ἅμα τοῖσιν ἑοὺς υἷας ἰδοῦσα,
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ
μητέρα δεξιόωντο καὶ ἀμφαγάπαζον ἰδόντες,
γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον.
Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
τηλόθι πλάγξασθαι· μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
λευγαλέης Φρίξοιο ἐφημοσύνῃσι νέεσθαι
πατρός; ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
ἡμετέρῃ κραδίῃ· τί δέ κεν πόλιν Ὀρχομενοῖο,
ὅστις ὅδ' Ὀρχομενὸς, κτεάνων Ἀθάμαντος ἕκητι,
μητέρ' ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;
Ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,
ἐκ δ' αὐτὴ Εἰδυῖα δάμαρ κίεν Αἰήταο,
Χαλκιόπης ἀΐουσα· τὸ δ' αυτικα πᾶν ὁμάδοιο
ἕρκος ἐπεπλήθει· τοὶ μὲν μέγαν ἀμφεπένοντο
ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν
ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
τετρηχώς, οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
τέλλεται, ὅντε μύωπα βοῶν κλείουσι νομῆες.
ὦκα δ' ὑπὸ φλοιὴν προδόμῳ ἐνὶ τόξα τανύσσας
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν,

ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς
Αἰσονίδῃ, γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ.
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤϊξε· βέλος δ' ἐνεδαίετο κούρῃ
νέρθεν ὑπὸ κραδίῃ πυρὶ εἴκελον· ἀντία δ' αἰεὶ
βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα· καί οἱ ἄηντο
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
μνῆστιν ἔχεν, γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ,
ὡς δὲ γυνὴ μαλερῷ πυρὶ κάρφεα χεύατο δαλῷ
χερνῆτις, τῇπερ ταλασήϊα ἔργα μέμηλεν,
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο,
ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει·
τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
οὖλος Ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.
Δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδὴν,
αὐτοί τε λιαροῖσιν ἐφαιδρύνοντο λοετροῖς,
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
υἷηας, τοίοισι παρηγορέων ἐπέεσσι.
Παιδὸς ἐμῆς κοῦροι, Φρίξοιό τε, τὸν πέρι πάντων
ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα,
πῶς Αἶάνδε νέεσθε παλίσσυτοι; ἦε τίς ἄτη
σωομένους μεσσηγὺς ἐνέκλασεν; οὐ μὲν ἐμεῖο
πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
ἤδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν ἠελίοιο
δινεύσας, ὅτ' ἐμεῖο κασιγνήτην ἐκόμιζεν
Κίρκην Ἑσπερίης εἴσω χθονός· ἐκ δ' ἱκόμεσθα
ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ' ἔτι νῦν περ
ναιετάει, μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
ἀλλὰ τί μύθων ἦδος; ἃ δ' ἐν ποσὶν ὔμμιν ὄρωρεν
εἴπατ' ἀριφραδέως· ἠδ' οἵτινες οἵδ' ἐφέπονται
ἀνέρες, ὁππότε καὶ γλαφυρῆς ἐκ νηὸς ἔβητε.

τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
Ἄργος, ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο,
μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν.
    Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
ζαχρηεῖς· αὐτοὺς δ' ὑπὸ δούρασι πεπτηῶτας
νήσου Ἐνυαλίοιο ποτὶ ξερὸν ἔκβαλε κῦμα
λυγαίῃ ὑπὸ νυκτί· θεὸς δέ τις ἄμμ' ἐσάωσεν.
οὐδὲ γὰρ αἳ τοπάροιθεν ἐρημαίην κατὰ νῆσον
ηὐλίζοντ' ὄρνιθες Ἀρήϊαι, οὐδ' ἔτι κείνας
εὕρομεν· ἀλλ' οἵγ' ἄνδρες ἀπήλασαν ἐξαποβάντες
νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι· καί σφ' ἀπέρυκεν
ἡμέας οἰκτείρων Ζηνὸς νόος, ἠέ τις αἶσα·
αὐτίκ' ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ' ἔδωκαν,
οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες,
ἠδ' αὐτοῖο σέθεν· μετὰ γὰρ τεὸν ἄστυ νέονται.
χρειὼ δ', ἢν ἐθέλεις ἐξίδμεναι, οὔ σ' ἐπικεύσω.
τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
σφωϊτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐδ' ὑπαλύξειν
στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
καὶ χόλον, οὐδ' ἄτλητον ἄγος, Φρίξοιό τε ποινάς,
Αἰολιδέων γενεήν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
νῆα δ' Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
οἷαί περ Κόλχοισι μετ' ἀνδράσι νῆες ἔασιν,
τάων αἰνοτάτης ἐπεκύρσαμεν· ἤλιθα γάρ μιν
λάβρον ὕδωρ πνοιή τε διέτμαγεν· ἡ δ' ἐνὶ γόμφοις
ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
ἶσον δ' ἐξ ἀνέμοιο θέει, καὶ ὅτ' ἀνέρες αὐτοὶ
νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμούς.
τῇ δ' ἐναγειράμενος Παναχαιΐδος εἴ τι φέριστον
ἡρώων, τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
ἄστεα καὶ πελάγη στυγερῆς ἁλός, εἴ οἱ ὀπάσσοις.
αὐτῷ δ' ὥς κεν ἅδῃ, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
χερσὶ βιησόμενος· μέμονεν δέ τοι ἄξια τίσειν
δωτίνης, ἀΐων ἐμέθεν μέγα δυσμενέοντας

Σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
ἴδμεναι οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην.
τόνδε μὲν, οἷό περ οὕνεκ' ἀφ' Ἑλλάδος ὧλλοι ἄγερθεν,
κλείουσ' Αἴσονος υἱὸν Ἰήσονα Κρηθείδαο.
εἰ δ' αὐτοῦ Κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
οὕτω κεν γνωτὸς πατρώϊος ἄμμι πέλοιτο.
ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες·
Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην παῖς Αἰολίδαο.
τόνδε δ' ἄρ', Ἠελίου γόνον ἔμμεναι εἴτιν' ἀκούεις,
δέρκεαι Αὐγείην· Τελαμὼν δ' ὅγε, κυδίστοιο
Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ' Αἰακὸν αὐτὸς ἔτικτεν.
ὣς δὲ καὶ ὧλλοι πάντες ὅσοι συνέπονται ἑταῖροι,
ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν.
Τοῖα παρέννεπεν Ἄργος· ἄναξ δ' ἐπεχώσατο μύθοις,
εἰσαΐων, ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
φῆ δ' ἐπαλαστήσας, μενέηνε δὲ παισὶ μάλιστα
Χαλκιόπης· τῶν γάρ σφι μετελθέμεν οὕνεκ' ἐώλπει.
ἐκ δέ οἱ ὄμματ' ἔλαμψαν ὑπ' ὀφρύσιν ἱεμένοιο.
Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,
πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι;
αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος οὐδ' ἐπὶ κῶας,
σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.
εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
ἦτ' ἂν ἀπὸ γλώσσας τε ταμὼν, καὶ χεῖρε κεάσσας
ἀμφοτέρας, οἴοισιν ἐπιπροέηκα πόδεσσιν,
ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι.
οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσι.
Φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
ἀντιβίην ὀλοὸν φάσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν.
Αἰήτη, σχέο μοι τῷδε στόλῳ· οὔτι γὰρ αὔτως
ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας,
οὐδὲ μὲν ἱέμενοι. τίς δ' ἂν τόσον οἶδμα περῆσαι

τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας; ἀλλά με δαίμων
καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
πρόφρονες εἶμεν Ἄρηϊ θοὴν ἀποτῖσαι ἀμοιβήν,
εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτε τιν' ἄλλον
δῆμον σφωϊτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι.
Ἴσκεν, ὑποσσαίνων ἀγανῇ ὀπί· τοῖο δὲ θυμὸς
διχθαδίην πόρφυρεν ἐπὶ στήθεσσι μενοινήν,
ἤ σφεας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίζοι,
ἤ ὅγε πειρήσαιτο βίης· τό οἱ εἴσατ' ἄρειον
φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπεν.
Ξεῖνε, τί κεν τὰ ἕκαστα διηνεκέως ἀγορεύεις;
εἰ γὰρ ἐτήτυμον ἐστὲ Θεῶν γένος, ἠὲ καὶ ἄλλως
οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
δώσω τοι χρύσειον ἄγειν δέρος, αἴ κ' ἐθέλησθα,
πειρηθείς· ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.
πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
τόν ῥ' αὐτὸς περίειμι χεροῖν, ὀλοόν περ ἐόντα.
δοιώ μοι πεδίον τὸ Ἀρήϊον ἀμφινέμονται
ταύρω χαλκόποδε στόματι φλόγα φυσιόωντε.
τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν Ἄρηος
τετράγυον· τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ,
οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτήν,
ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
ἀνδράσι τευχηστῇσι δέμας· τοὺς δ' αὖθι δαΐζων
κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.
ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
παύομαι ἀμήτοιο· σὺ δ' εἰ τάδε τοῖα τελέσσεις,
αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος.
πρὶν δέ κεν οὐ δοίην· μηδ' ἔλπεο· δὴ γὰρ ἀεικὲς
ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι.
Ὣς ἄρ ἔφη. Ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας,
ἧσθ' αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
βουλὴν δ' ἀμφὶ πολὺν στρώφα χρόνον· οὐδέ πῃ εἶχε

θαρσαλέως ὑποδέχθαι· ἐπεὶ μέγα φαίνετο ἔργον.
ὀψὲ δὲ ἀμειβόμενος προσελέξατο κερδαλέοισιν.
Αἰήτη, μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
τῷ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα,
τλήσομαι, εἰ καί μοι θανέειν μόρος· οὐ γὰρ ἔτ' ἄλλο
ῥίγιον ἀνθρώποισι κακῆς ἐπιβήσετ' ἀνάγκης,
ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος.
Ὣς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα.
ἔρχεο νῦν μεθ' ὅμιλον· ἐπεὶ μέμονάς γε πόνοιο.
εἰ δὲ σύ γε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι· ὄφρα καὶ ἄλλος
ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν.
Ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπὸ θρόνου ὤρνυτ' Ἰήσων,
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος
οἶος· ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
αὐτοκασιγνήτοις· οἱ δ' ἤεσαν ἐκ μεγάροιο.
θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ, ἠΰτ' ὄνειρος,
ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες·
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο,
καρπαλίμως θάλαμονδε σὺν υἱάσιν οἷσι βεβήκει.
αὔτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
ὥρμαιν', ὅσσα τ' Ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα,
αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἕστο,
οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
ἤϊεν· οὐδέ τιν' ἄλλον ὀΐσσατο πορφύρουσα
ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσεν.
τάρβει δ' ἀμφ' αὐτῷ μή μιν βόες, ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠΰτε πάμπαν

ἤδη τεθνειῶτα· τέρεν δέ οἱ ἀμφὶ παρειὰς
δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν.
ἦκα δὲ, μυρομένη λιγέως, ἀνενείκατο μῦθον.
Τίπτε με δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων
φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
ἐῤῥέτω· ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
ναὶ δὴ τοῦτό γε, πότνα Θεὰ Πηρσηῒ, πέλοιτο·
οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
δμηθῆναι ὑπὸ βουσὶ, τόδε προπάροιθε δαείη,
οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.
Ἡ μὲν ἄρ' ὣς ἐόλητο νόον μελεδήμασι κούρη.
οἱ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
τὴν ὁδὸν, ἣν τοπάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
δὴ τότ' Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσι.
Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥν τιν' ἐνίψω·
πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
φαρμάσσειν Ἑκάτης Περσηΐδος ἐννεσίῃσιν·
τὴν εἴ κεν πεπίθοιμεν, ὀΐομαι, οὐκέτι τάρβος
ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων·
ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἧμιν ὄλεθρος.
Ἴσκεν ἐΰφρονέων· ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω.
βάσκ' ἴθι, καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
ὄρνυθι λισσόμενος· μελέη γε μὲν ἧμιν ὄρωρεν
ἐλπωρὴ, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.
Ὣς ἔφατ', ὦκα δ' ἕλος μετεκίαθον. αὐτὰρ ἑταῖροι
γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο.
τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον.
Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
ἀντικρὺ κεχόλωται· ἕκαστα γὰρ οὔ νύ τι τέκμωρ
οὔτ' ἐμοὶ, οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
φῆ δὲ δύω πεδίον τὸ Ἀρήϊον ἀμφινέμεσθαι
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε.

τετράγυον δ' ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι,
δώσειν δ' ἐξ ὄφεος γενύων σπόρον, ὅς ῥ' ἀνίησιν
Γηγενέας χαλκέοις σὺν τεύχεσιν· ἤματι δ' αὐτῷ
χρειὼ τούσδε δαΐξαι· ὃ δή νύ οἱ, οὔτι γὰρ ἄλλο
βέλτερον ἦν φράσσασθαι, ἀπηλεγέως ὑποέστην.
ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος.
δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο
ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς
θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν.
Ὥρη μητιάασθαι ὅ κ' ἕρξομεν· οὐ μὲν ἔολπα
βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἐπὶ κάρτεϊ χειρῶν.
εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο
ἥρως Αἰσονίδη, φρονέεις μέμονάς τε πόνοιο,
ἦτ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο.
εἰ δ' οὔ τοι μάλα θυμὸς ἑῇ ἐπὶ πάγχυ πέποιθεν
ἠνορέῃ, μήτ' αὐτὸς ἐπείγεο, μήτε τιν' ἄλλον
τῶνδ' ἀνδρῶν πάπτηνε παρήμενος· οὐ γὰρ ἔγωγε
σχήσομ'· ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος.
Ὣς ἔφατ' Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·
σπερχόμενος δ' ἀνόρουσε θοῶς· ἐπὶ δὲ τρίτος Ἴδας
ὦρτο μέγα φρονέων· ἐπὶ δ' υἷες Τυνδαρέοιο.
σὺν δὲ καὶ Οἰνείδης ἐναρίθμιος αἰζηοῖσιν
ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπανθιόωντας ἰούλους
ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.
οἱ δ' ἄλλοι εἴξαντες ἄκην ἔχον· αὐτίκα δ' Ἄργος
τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου.
Ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον· ἀλλά τιν' οἴω
μητρὸς ἐμῆς ἔσσεσθαι ἐναίσιμον ὔμμιν ἀρωγήν.
τῷ καίπερ μεμαῶτες ἐρητύοισθ' ἐνὶ νηὶ
τυτθὸν ἔθ', ὡς τοπάροιθεν· ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
λώϊον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
κούρη τις μεγάροισιν ἐνιτρέφετ' Αἰήταο,
τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
φάρμαχ', ὅσ' ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ·
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ' ἀϋτμήν,
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,

ἄστρα τε καὶ Μήνης ἱερῆς ἐπέδησε κελεύθους.
τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ' ἰόντες
μνησάμεθ', εἴκε δύναιτο κασιγνήτη γεγαυῖα,
μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
εἰ δὲ καὶ αὐτοῖσι τόδ' ἐφανδάνει, ἦτ' ἂν ἱκοίμην
ἤματι τῷδ' αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
πειρήσων· τάχα δ' ἂν σὺν δαίμονι πειρηθείην.
Ὣς φάτο· τοῖσι δὲ σῆμα Θεοὶ δόσαν εὐμενέοντες.
τρήρων μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
κίρκος δ' ἀφλάστῳ περικάππεσεν· αἶψα δὲ Μόψος
τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευεν.
Υ̓́μμι, φίλοι, τόδε σῆμα Θεῶν ἰότητι τέτυκται,
οὐδέ πῃ ἄλλως ἐστὶν ὑποκρίνεσθαι ἄρειον.
παρθενικὴν δ' ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
μήτι παντοίῃ· δοκέω δέ μιν οὐκ ἀθερίξειν,
εἰ ἐτεὸν Φινεύς γε θεῇ ἐνὶ Κύπριδι νόστον
πέφραδεν ἔσσεσθαι· κείνης δ' ὅγε μείλιχος ὄρνις
πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
τόνδε καθ' οἰωνὸν προτιόσσεται, ὣς δὲ πέλοιτο.
ἀλλά, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν,
ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε.
Ἴσκεν· ἐπήνησαν δὲ νέοι Φινῆος ἐφετμὰς
μνησάμενοι· μοῦνος δ' Ἀφαρήϊος ἄνθορεν Ἴδας
δείν' ἐπαλαστήσας μεγάλῃ ὀπὶ, φώνησέν τε.
ὢ πόποι, ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν
οἳ Κύπριν καλέουσιν ἐπίῤῥοθον ἄμμι πέλεσθαι.
οὐκ ἔτ' Ἐνυαλίοιο μέγα σθένος· ἐς δὲ πελείας
καὶ κίρκους λεύσαντες ἐρητύεσθε ἀέθλων.
ἔῤῥετε· μηδ' ὔμμιν πτολεμήϊα ἔργα μέλοιτο,
παρθενικὰς δὲ λιτῆσιν ἀνάλκιδας ἠπεροπεύειν.
Ὣς ηὔδα μεμαώς· πολέες δ' ὁμάδησαν ἑταῖροι
ἦκα μάλ'· οὐδ' ἄρα τίς οἱ ἐναντίον ἔκφατο μῦθον.
χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο· τοῖσι δ' Ἰήσων
αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευσεν.
Ἄργος μὲν παρὰ νηὸς, ἐπεὶ τόδε πᾶσιν ἕαδεν,

στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπὶ χθονὸς ἐκ ποταμοῖο
ἀμφαδὸν ἤδη πείσματ᾽ ἀνάψομεν· ἦ γὰρ ἔοικε
μηκέτι δὴν κρύπτεσθαι ὑποπτήσοντας ἀϋτήν.
Ὣς ἄρ᾽ ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν· οἱ δ᾽ ἐπὶ νηὸς
εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο,
τυτθὸν ὑπ᾽ ἐξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
Αὐτίκα δ᾽ Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων
νόσφιν ἑοῖο δόμου, τόθι περ καὶ πρόσθε κάθιζον,
ἀτλήτους Μινύεσσι δόλους καὶ κήδεα τεύχων.
στεῦτο δ᾽, ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
ἄνδρα τὸν, ὅς ῥ᾽ ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
δρυμὸν ἀναῤῥήξας λασίης καθύπερθε κολώνης,
αὔτανδρον φλέξειν δόρυ νήϊον, ὄφρ᾽ ἀλεγεινὴν
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
οὐδὲ γὰρ Αἰολίδην Φρίξον μάλα περ χατέοντα
δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον, ὃς περὶ πάντων
ξείνων μειλιχίῃ τε, θεουδείῃ τ᾽ ἐκέκαστο,
εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ᾽ οὐρανοῦ ἄγγελον ἧκεν
Ἑρμείαν, ὥς κεν προσκηδέος ἀντιάσειεν.
μὴ καὶ ληϊστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν,
κρυπταδίους τε δόλους τεκταινέμεν, ἠδὲ βοτήρων
αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
νόσφι δέ οἱ αὐτῷ φάτ᾽ ἐοικότα μείλια τίσειν
υἷας Φρίξοιο, κακοῤῥέκτῃσιν ὀπηδοὺς
ἀνδράσι νοστήσαντας ὁμιλαδὸν, ὄφρα ἑ τιμῆς
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες. ὥς ποτε βάξιν
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν Ἠελίοιο,
χρειώ μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης
σφωϊτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι·
τῷ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιΐδα γαῖαν
πατρὸς ἐφημοσύνῃ δολιχὴν ὁδόν· οὐδὲ θυγατρῶν
εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
φράσσονται στυγερὴν, οὐδ᾽ υἱέος Ἀψύρτοιο·

ἀλλ' ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
καί ῥ' ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν
χωόμενος· μέγα δέ σφιν ἀπείλεε νῆά τ' ἐρύσθαι
ἠδ' αὐτούς· ἵνα μή τις ὑπὲκ κακότητος ἀλύξῃ.
τόφρα δὲ μητέρ' ἑὴν μετιὼν δόμον Αἰήταο
Ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν,
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἡ δὲ καὶ αὐτὴ
πρόσθεν μητιάασκε· δέος δέ μιν ἴσχανε θυμὸν,
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίσαιτο
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
Κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
λέκτρῳ ἀνακλινθεῖσαν· ἄφαρ δέ μιν ἠπεροπῆες
οἷά τ' ἀκηχεμένην ὀλοοὶ ἐρέθεσκον ὄνειροι.
τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
οὔ τι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
οὐδέ τι τοῖο ἕκητι μετὰ πτόλιν Αἰήταο
ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο
κουριδίην παράκοιτιν· οἴετο δ' ἀμφὶ βόεσσιν
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι,
σφωϊτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας ἀλλά οἱ αὐτῷ
προὔθεσαν· ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετὰ φρεσὶν ἰθύσειεν.
ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκεν.
παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν,
ὡς πάρος, ἐν στέρνοις, ἀδινὴν δ' ἀνενείκατο φωνήν.
Δειλὴ ἐγὼν, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
δείδια μὴ μέγα δή τι φέρει κακὸν ἥδε κέλευθος
ἡρώων· περί μοι ξείνῳ φρένες ἠερέθονται.
μνάστω ἑὸν κατὰ δῆμον Ἀχαιΐδα τηλόθι κούρην,
ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.

ἔμπα γε μὴν θεμένη κύνεον κέαρ, οὐκ ἔτ' ἄνευθεν
αὐτοκασιγνήτης πειρήσομαι· εἴ κέ μ' ἀέθλῳ
χραισμεῖν ἀντιάσῃσιν, ἐπὶ σφετέροις ἀχέουσα
παισί· τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσοι ἄλγος.
 Ἦ ῥα· καὶ ὀρθωθεῖσα θύρας ὤϊξε δόμοιο,
νῆλιπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
αὐτοκασιγνήτηνδε, καὶ ἕρκεος οὐδὸν ἄμειψεν.
δὴν δέ κατ' αὐτόθι μίμνεν ἐνὶ προδόμῳ θαλάμοιο
αἰδοῖ ἐεργομένη· μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν· ἂψ τ' ἀλέεινεν
εἴσω· τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα.
ἤτοι ὅτι θύσειεν ἔρυκέ μιν ἔνδοθεν αἰδώς·
αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο· τέτρατον αὖθις
λέκτροισιν πρηνὴς ἐνικάππεσεν εἰλιχθεῖσα.
ὡς δ' ὅτε τὶς νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισιν
μύρεται, ᾧ μιν ὄπασσαν ἀδελφεοὶ ἠδὲ τοκῆες·
οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν,
αἰδοῖ, ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀχέουσα θαάσσει·
τὸν δέ τις ὤλεσε μοῖρ'· ἡ δ' ἔνδοθι δαιομένη περ
σῖγα μάλα κλαίει, χῆρον λέχος εἰσορόωσα,
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
τῇ ἰκέλη Μήδεια κινύρετο· τὴν δέ τις ἄφνω
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
δμωάων, ἥ οἱ ἑπέτις πέλε κουρίζουσα·
Χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν· ἡ δ' ἐνὶ παισὶν
ἧστ' ἐπιμητιόωσα κασιγνήτην ἀρέσασθαι.
ἀλλ' οὐδ' ὣς ἀπίθησεν, ὅτ' ἔκλυεν ἀμφιπόλοιο
μῦθον ἀνώϊστον· διὰ δ' ἔσσυτο θαμβήσασα
ἐκ θαλάμου θάλαμόνδε διαμπερές, ᾧ ἔνι κούρη
κέκλιτ' ἀκηχεμένη, δρύψεν δ' ἑκάτερθε παρειάς.
ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν.
 Ὤμοι ἐγώ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
τίπτ' ἔπαθες; τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
ἤ νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος;
ἠέ τιν' οὐλομένην ἐδάης παρὰ πατρὸς ἐνιπὴν

ἀμφί τ' ἐμοὶ καὶ παισίν; ὄφελλέ με μήτε τοκήων
δῶμα τόδ' εἰσοράαν, μηδὲ πτόλιν, ἀλλ' ἐπὶ γαίης
πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.
Ὣς φάτο· τῆς δ' ἐρύθηνε παρήϊα· δὴν δέ μιν αἰδὼς
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
μῦθος δ' ἄλλοτε μέν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλε
γλώσσης, ἄλλοτ' ἔνερθε κατὰ στῆθος πεπότητο.
πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνισπεῖν,
φθογγὴ δ' οὐ προύβαινε παροιτέρω· ὀψὲ δ' ἔειπεν
τοῖα δόλῳ· θρασέες γὰρ ἐπεκλονέεσκον ἔρωτες.
Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται,
μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ' ὀλέσσῃ.
τοῖα κατακνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ
λεύσσω ὀνείρατα λυγρά, τά τις θεὸς ἀκράαντα
θείη· μηδ' ἀλεγεινὸν ἐφ' υἱάσι κῆδος ἕλοιο.
Φῆ ῥα, κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
τὴν δ' αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη
δείματι· τοῖ' ἐσάκουσεν· ἀμείβετο δ' ὧδ' ἐπέεσσι.
καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα,
εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
ἀλλ' ὄμοσον Γαῖάν τε καὶ Οὐρανὸν, ὅττι τοι εἴπω
σχήσειν ἐν θυμῷ, σύν τε δρήστειρα πέλεσθαι.
λίσσομ' ὑπὲρ μακάρων, σέο τ' αὐτῆς, ἠδὲ τοκήων,
μή σφε κακῇ ὑπὸ κηρὶ διαρραισθέντας ἰδέσθαι
λευγαλέως· ἢ σοί γε φίλοις σὺν παισὶ θανοῦσα
εἴην ἐξ Ἀΐδεω στυγερὴ μετόπισθεν Ἐριννύς.
Ὣς ἄρ' ἔφη· τὸ δὲ πολλὸν ὑπεξέχυτ' αὐτίκα δάκρυ·
νειόθι δ' ἀμφοτέρῃσι περίσχετο γούνατα χερσίν,
σὺν δὲ κάρη κόλποις περικάββαλον· ἔνθ' ἐλεεινὸν
ἄμφω ἐπ' ἀλλήλῃσι θέσαν γόον· ὦρτο δ' ἰωὴ
λεπταλέη διὰ δώματ' ὀδυρομένων ἀχέεσσιν.
τὴν δὲ πάρος Μήδεια προσέννεπεν ἀσχαλόωσα.
Δαιμονίη, τί νύ τοι ῥέξω ἄκος; οἷ' ἀγορεύεις
ἀράς τε στυγερὰς καὶ Ἐρινύας· αἲ γὰρ ὄφελλεν
ἔμπεδον εἶναι ἐπ' ἄμμι τεοὺς υἷας ἐρύσθαι.

ἴστω Κόλχων ὅρκος ὑπέρβιος, ὅντιν' ὀμόσσαι
αὐτὴ ἐποτρύνεις· μέγας Οὐρανὸς, ἠδ' ὑπένερθε
Γαῖα, θεῶν μήτηρ· ὅσσον σθένος ἐστὶν ἐμεῖο
μή σ' ἐπιδευήσεσθαι, ἄνυστά περ ἀντιόωσαν.
Φῆ ἄρα. Χαλκιόπη δ' ἠμείβετο τοῖσδ' ἐπέεσσιν.
οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
ἢ δόλον ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου
παίδων εἵνεκ' ἐμεῖο; καὶ ἐκ κείνοιο δ' ἱκάνει
Ἄργος ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς·
μεσσηγὺς μὲν τόνγε δόμον λίπον ἐνθάδ' ἰοῦσα.
Ὧς φάτο· τῇ δ' ἐντόσθεν ἀνέπτατο χάρματι θυμός.
φοινίχθη δ' ἄμυδις καλὸν χρόα· καδδὲ μὲν ἀχλὺς
εἷλεν ἰαινομένην· τοῖον δ' ἐπὶ μῦθον ἔειπεν.
Χαλκιόπη, ὡς ὔμμι φίλον τερπνόν τε τέτυκται,
ὣς ἔρξω· μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαείνοι
ἠώς, μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
εἴ κέ τι σῆς ψυχῆς προφερέστερον, ἠέ τι παίδων
σῶν θείην· οἳ δή μοι ἀδελφειοὶ γεγάασιν,
κηδεμόνες τε φίλοι καὶ ὁμήλικες· ὡς δὲ καὶ αὐτὴ
φημὶ κασιγνήτην τε σέθεν κούρην τε πέλεσθαι·
ἶσον ἐπεὶ κείνοις με τεῷ ἐπαείραο μαζῷ,
νηπυτίην, ὡς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
ἀλλ' ἴθι· κεῦθε δ' ἐμὴν σιγῇ χάριν, ὄφρα τοκῆας
λήσομαι, ἐντύνουσα ὑπόσχεσιν· ἦρι δὲ νηὸν
οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων.
Ὧς ἥγ' ἐκ θαλάμοιο πάλιν κίε, παισί τ' ἀρωγὴν
αὐτοκασιγνήτης διεπέφραδε· τὴν δέ μιν αὖθις
αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν,
τοῖα παρὲξ οὗ πατρὸς ἐπ' ἀνέρι μητιάασθαι.
Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας· οἱ δ' ἐνὶ πόντῳ
ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
ἔδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὁδίτης
ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
μητέρα τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, οὐ θρόος ἦεν
ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.

ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
φθίσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν Ἄρηος.
πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυεν,
ἠελίου ὡς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι
ἠέ που ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀΐσσουσα·
ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης,
δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
τεῖρ' ὀδύνη σμύχουσα διὰ χροὸς, ἀμφί τ' ἀραιὰς
ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις·
ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
ἀκάματοι πραπίδεσσιν ἐνισκίμψωσιν Ἔρωτες.
φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθεῖσθαι δὲ καὶ αὐτή.
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
ἑζομένη δ' ἤπειτα δοάσσατο, φώνησέν τε.
Δειλὴ ἐγὼ, νῦν ἔνθα κακῶν ἢ ἔνθα γένωμαι.
πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
πήματος, ἀλλ' αὔτως φλέγει ἔμπεδον· ὡς ὄφελόν γε
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
πρὶν τόνγ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
Χαλκιόπης υἷας· τοὺς μὲν θεὸς ἤ τις Ἐριννὺς
ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
φθίσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
μοῖρα πέλει· πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
τίς δὲ δόλος; τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα;
δύσμορος· οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,
κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. Ἐῤῥέτω αἰδὼς,
ἐῤῥέτω ἀγλαΐη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς,

ἀσκηθὴς, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρων,
ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
ἀλλὰ καὶ ὣς φθιμένῃ μοι ἐπιλλίζουσιν ὀπίσσω
κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
πότμον ἐμόν· καί κεν με διὰ στόματος φορέουσαι
Κολχίδες ἄλλυδις ἄλλη ἀεικέα μωμήσονται·
ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας,
μαργοσύνῃ εἴξασα· τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος;
ὤμοι ἐμῆς ἄτης· ἦτ' ἂν πολὺ κέρδιον εἴη
τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν,
πότμῳ ἀνωΐστῳ, κάκ' ἐλέγχεα πάντα φυγοῦσαν,
πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.
Ἦ, καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ
φάρμακά οἱ, τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο· δεῦε δὲ κόλπους
ἄλληκτον δακρύοισι· τὰ δ' ἔρρεεν ἀσταγὲς αὕτως
αἴν' ὀλοφυρομένης τὸν ἑὸν μόρον· ἵετο δ' ἥ γε
φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
ἐξελέειν μεμαυῖα δυσάμμορος· ἀλλά οἱ ἄφνω
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο·
ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
μνήσατο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
μνήσαθ' ὁμηλικίης περιγηθέος, οἷά τε κούρη.
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι
ἢ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀπεκάτθετο γούνων
Ἥρης ἐννεσίῃσι μετάτροπος, οὐδέ τι βουλὰς
ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
φάρμακα συνθεσίῃσι καὶ ἀντήσειεν ἐς ὠπήν·
πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,

αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
Ἠριγενής, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.

Ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·
αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.

Ἡ δ' ἐπεὶ οὖν ταπρῶτα φαεινομένην ἴδεν ἠῶ
παρθενική, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,
αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο·
αὐσταλέας δ' ἔψησε παρηΐδας· αὐτὰρ ἀλοιφῇ
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
καλόν, ἐϋγνάμπτοισιν ἀρηρέμενον περόνῃσιν.
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ἀργυφέην· αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
στεῖβε πέδον, λήθῃ ἀχέων τά οἱ ἐν ποσὶν ἦεν
θεσπέσι', ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
κέκλετο δ' ἀμφιπόλοισιν, αἵ οἱ δυοκαίδεκα πᾶσαι
ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο,
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
φάρμακον, ὅρρα τέ φασι Προμήθειον καλέεσθαι.
τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσι
Κούρην μουνογένειαν ἑὸν δέμας ἰκμαίνοιτο,
ἦτ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ
λωΐτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
πρωτοφυὲς τόγ' ἀνέσχε καταστάξαντος ἔραζε
Αἰετοῦ ὠμηστέω κνημοῖς ἔνι Καυκασίοισιν
αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.
τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πηχυίον ὕπερθεν
χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,
καυλοῖσιν διδύμοισιν ἐπήορον· ἡ δ' ἐνὶ γαίῃ
σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,

ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
λυγαίη ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσιν.
μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα·
ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς
Ἰαπετοῖο πάϊς ὀδύνῃ πέρι θυμὸν ἀλύων.
τόν ῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
ἥτε οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης.
σὺν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.
αὐτὴ δ' ἡνί' ἔδεκτο, καὶ εὐποίητον ἱμάσθλην
δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
ἀμφίπολοι πείρινθος ἐφαπτόμεναι μετόπισθε
τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας
λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο
ἠὲ καὶ Ἀμνησοῖο λοεσσαμένη ποταμοῖο
χρυσείοις Λητωῒς ἐφ' ἅρμασιν ἑστηυῖα,
ὠκείαις κεμάδεσσι διεξελάσῃσι κολώνας,
τηλόθεν ἀντιόωσα πολυκνίσσου ἑκατόμβης·
τῇ δ' ἅμα Νύμφαι ἕπονται ἀμορβάδες, αἱ μὲν ἐπ' αὐτῆς
ἀγρόμεναι πηγῆς Ἀμνησίδος, αἱ δὲ δὴ ἄλλαι
ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
ὣς αἵγ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
εἶκον, ἀλευάμενοι βασιληΐδος ὄμματα κούρης.
αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐϋδμήτους λίπ' ἀγυιάς,
νηὸν δ' εἰσαφίκανε διὲκ πεδίων ἐλάουσα,
δὴ τότ' ἐϋτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
ἱεμένη, καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν.
Ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον· οὐδ' ἐνόησα
μὴ ἴμεν ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵτ' ἐπὶ γαῖαν
ἡμετέρην στρωφῶσιν· ἀμηχανίῃ βεβόληται
πᾶσα πόλις· τὸ καὶ οὔ τις ἀνήλυθε δεῦρο γυναικῶν
τάων αἳ τοπάροιθεν ἐπημάτιαι ἀγέρονται.

ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα, καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
εἰ δ' ἄγε, μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
μειλιχίῃ, τάδε καλὰ τερείνης ἄνθεα ποίης
λεξάμεναι· τότ' ἔπειτ' αὐτὴν ἀπονυσόμεθ' ὥρην.
καὶ δέ κε σὺν πολέεσσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
Ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει, ὡς δὲ καὶ αὐτὴ
Χαλκιόπη· τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.
τὸν ξεῖνόν με κέλονται, ὅτις περὶ βουσὶν ὑπέστη,
δῶρ' ἀποδεξαμένην, ὀλοῶν ῥύσασθαι ἀέθλων.
αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπῄνεον· ἠδὲ καὶ αὐτὸν
κέκλομαι εἰς ὦπην ἑτάρων ἄπο μοῦνον ἱκέσθαι,
ὄφρα τὰ μὲν δασόμεσθα μετὰ σφίσιν, εἴκεν ὀπάσσῃ
δῶρα φέρων, τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν
φάρμακον· ἀλλ' ἀπονόσφι πέλεσθέ μοι, εὖτ' ἂν ἵκηται.
Ὣς ηὔδα· πάσῃσι δ' ἐπίκλοπος ἥνδανε μῆτις.
αὐτίκα δ' Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
Ἄργος, ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
ἦγε διὲκ πεδίου· μετὰ δὲ σφίσιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
οἰωνούς, ἐσθλὸς δὲ συνευφράσσασθαι ἰοῦσιν.
Ἔνθ' οὔπω τὶς τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
ἀθανάτων ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,
οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ,
ἠμὲν ἐς ἄντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀϊσσάμενος τὰ ἕκαστα.
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
τάων τὶς μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
ὑψοῦ ἐπ' ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς.

Ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ' ὅσα παῖδες ἴσασιν
οἶδε νόῳ φράσσασθαι, ὅθ' οὕνεκεν οὔτε τι λαρὸν
οὔτ' ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
ἠιθέῳ, εὖτ' ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
ἔῤῥοις, ὦ κακόμαντι, κακοφραδές· οὐδέ σε Κύπρις,
οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν Ἔρωτες.
Ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
ὀμφὴν οἰωνοῖο θεήλατον, ὧδέ τ' ἔειπεν·
τύνη μὲν νηόνδε θεᾶς ἴθι, τῷ ἔνι κούρην
δήεις, Αἰσονίδη· μάλα δ' ἠπίῃ ἀντιβολήσεις,
Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
ἔσσεται· ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
νῶϊ δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι εὖτ' ἂν ἵκηαι,
τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν.
Ἦ ῥα περιφραδέως· ἐπὶ δὲ σχεδὸν ἤνεον ἄμφω.
οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
μελπομένης περ ὅμως· πᾶσαι δέ οἱ, ἥντιν' ἀθύροι
μολπὴν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανον ἑψιάασθαι.
ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος: οὐδέ ποτ' ὄσσε
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας, ἐς δὲ κελεύθους
τηλόσε παπταίνεσκε, παρακλίνουσα παρειάς.
ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
αὐτὰρ ὅγ' οὐ μετὰ δηρὸν ἐελδομένῃ ἐφαάνθη
ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος Ὠκεανοῖο,
ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ' ἐσιδέσθαι
ἀντέλλει, μήλοισι δ' ἐν ἄσπετον ἧκεν ὀϊζύν.
ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ' αὔτως
ἤχλυσαν· θερμὸν δὲ παρηΐδας εἷλεν ἔρευθος·
γούνατα δ' οὔτ' ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
ἔσθενεν, ἀλλ' ὑπένερθε πάγη πόδας. αἱ δ' ἄρα τείως
ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
τὼ δ' ἄνεω καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,

ἢ δρυσὶν ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν·
αἵ τε παράσσον ἕκηλοι ἐν οὔρεσιν ἐῤῥίζωνται
νηνεμίῃ, μετὰ δ' αὖτις ὑπαὶ ῥιπῆς ἀνέμοιο
κινύμεναι ὁμάδησαν ἀπείριτον· ὣς ἄρα τώ γε
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν ἔρωτος.
γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
θευμορίῃ, καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον.
Τίπτε με, παρθενικὴ, τόσον ἅζεαι οἶον ἐόντα;
οὔτοι ἐγὼν, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
ἀνέρες, οὐδ' ὅτε περ πάτρῃ ἔνι ναιετάεσκον,
ἦα πάρος· τῷ μή με λίην ὑπεραίδεο, κούρη,
ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον, ἠέ τι φάσθαι.
ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν εὐμενέοντες
χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδέ με τερπνοῖς
φηλώσῃς ἐπέεσσιν· ἐπεὶ τοπρῶτον ὑπέστης
αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων,
καὶ Διὸς, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει·
ἀμφότερον δ', ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω
χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
ὑμείων, στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς,
ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ἄλλοι
ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες,
ἡρώων τ' ἄλοχοι καὶ μητέρες· αἵ νύ ποτ' ἤδη
ἡμέας ἠϊόνεσσιν ἐφεζόμεναι γοάασιν·
τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
παρθενικὴ Μινωῒς εὐφρονέουσ' Ἀριάδνη,
ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
ἀλλ' ἡ μὲν καὶ νηὸς, ἐπεὶ χόλον εὔνασε Μίνως,
σὺν τῷ ἐφεζομένη πάτρην λίπε· τὴν δὲ καὶ αὐτοὶ
ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,

πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴκε σαώσῃς
τόσσον ἀριστήων ἀνδρῶν στόλον· ἦ γὰρ ἔοικας
ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι.
Ὣς φάτο κυδαίνων· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα,
νεκτάρεον μείδησ'· ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
αἴνῳ ἀειρομένης, καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
οὐδ' ἔχεν ὅ, ττι πάροιθεν ἔπος ποτιμυθήσαιτο,
ἀλλ' ἄμυδις μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
προπρὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
φάρμακον· αὐτὰρ ὅγ' αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς.
καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
ψυχὴν ἐγγυαλίξεν ἀγαιομένη χατέοντι,
τοῖος ἀπὸ ξανθοῖο καρήατος Αἰσονίδαο
στράπτεν ἔρως ἡδεῖαν ἀπὸ φλόγα· τῆς δ' ἀμαρυγὰς
ὀφθαλμῶν ἥρπαζεν· ἰαίνετο δὲ φρένας εἴσω
τηκομένη, οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση
τήκεται, ἠῴοισιν ἰαινομένη φαέεσσιν.
ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
αἰδόμενοι, ὅτε δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπάς,
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη.
Φράζεο νῦν ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
οἶος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισιν
βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἔνι θῆλυν
ἀρνειὸν σφάζειν, καὶ ἀδαίετον ὠμοθετῆσαι,
αὐτῷ πυρκαϊὴν εὖ νήσας ἐπὶ βόθρῳ.
μουνογενῆ δ' Ἑκάτην Περσηΐδα μειλίσσοιο,
λείβων ἐκ δέπαος σιμβλήϊα ἔργα μελισσῶν.
ἔνθα δ' ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
ἂψ ἀπὸ πυρκαϊῆς ἀναχάζεο· μηδέ σε δοῦπος
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,

ἠὲ κυνῶν ὑλακῇ, μή πως τὰ ἕκαστα κολούσας,
οὐδ' αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠΰτ' ἀλοιφῇ
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
ἔσσετ' ἀπειρεσίη, μέγα τε σθένος· οὐδέ κε φαίης
ἀνδράσιν ἀλλὰ Θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
καὶ ξίφος· ἔνθ' οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
γηγενέων ἀνδρῶν, οὐδ' ἄσχετος ἀΐσσουσα
φλὸξ ὀλοῶν ταύρων· τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
ἔσσεαι, ἀλλ' αὐτῆμαρ· ὅμως σύ γε μήποτ' ἀέθλου
χάζεο· καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ' ὄνειαρ.
αὐτίκ' ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
χερσὶ καὶ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς,
οἱ δ' ἤδη κατὰ ὦλκας ἀνασταχύουσι γίγαντες,
σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων·
αἴκεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
καρχαλέοι κύνες ὥστε περὶ βρώμης, ὀλέκοιεν
ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο δηϊοτῆτος
ἰθῦσαι· τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖο ἕκητι
οἴσεαι ἐξ Αἴης τηλοῦ ποθί· νίσσεο δ' ἔμπης
ᾗ φίλον, εἴ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι.
Ὣς ἄρ' ἔφη· καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα,
θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦεν·
μυρομένη, ὅτ' ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο
πόντον ἐπιπλάγξασθαι· ἀνιηρῷ δέ μιν ἄντην
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
δεξιτερῆς· ἤδη γὰρ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς.
Μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἴκαδ' ἵκηαι,
οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
μνήσομαι· εἰπὲ δέ μοι πρόφρων τόδε, πῇ τοι ἔασι
δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηῒ περήσεις·
ἤ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
ἠὲ καὶ Αἰαίης νήσου πέλας· εἰπὲ δὲ κούρην,
ἥν τινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν

Πασιφάης, ἣ πατρὸς ὁμόγνιος ἐστὶν ἐμοῖο.
Ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήϊε δάκρυσι κούρης
οὖλος ἔρως· τοῖον δὲ παραβλήδην ἔπος ηὔδα.
Καὶ λίην οὐ νύκτας ὀΐομαι οὐδέ ποτ᾽ ἦμαρ
σεῦ ἐπιλήσεσθαι, προφυγὼν μόρον· εἰ ἐτεόν γε
φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιΐδα· μηδέ τιν᾽ ἄλλον
Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
εἰ δέ τι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην,
ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
ἔστι τὶς αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
πάμπαν ἐΰῤῥηνός τε καὶ εὔβοτος· ἔνθα Προμηθεὺς
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα·
ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
Αἱμονίην δὴ τήνδε περικτίονες καλέουσιν·
ἐν δ᾽ αὐτῇ Ἰαωλκὸς, ἐμὴ πτόλις, ἐν δὲ καὶ ἄλλαι
πολλαὶ ναιετάουσιν, ἵν᾽ οὐδέ περ οὔνομ᾽ ἀκοῦσαι
Αἰαίης νήσου. Μινύην γε μὲν ὁρμηθέντα,
Αἰολίδην Μινύην, ἔνθεν φάτις Ὀρχομενοῖο
δή ποτε Καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
ἀλλὰ τίη τάδε τοὶ μεταμώνια πάντ᾽ ἀγορεύω;
ἡμετέρους τε δόμους, τηλεκλειτήν τ᾽ Ἀριάδνην,
κούρην Μίνωος· τόπερ ἀγλαὸν οὔνομα κείνην
παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ᾽ ἐρεείνεις.
αἴθε γὰρ ὡς Θησῆϊ τότε ξυναρέσσατο Μίνως
ἀμφ᾽ αὐτῆς, ὣς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.
Ὣς φάτο, μειλιχίοισι καταψύχων ὀάροισιν·
τῆς δ᾽ ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνίαι·
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
Ἑλλάδι που τάδε καλὰ, συνημοσύνας ἀλεγύνειν·
Αἰήτης δ᾽ οὐ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ᾽ Ἀριάδνῃ
ἰσοῦμαι· τῷ μήτι φιλοξενίην ἀγόρευε.
ἀλλ᾽ οἶον τύνη μὲν ἐμεῦ, ὅτ᾽ Ἰωλκὸν ἵκηαι,
μνώεο· σεῖο δ᾽ ἐγὼ, καὶ ἐμῶν ἀέκητι τοκήων,
μνήσομαι· ἔλθοι δ᾽ ἧμιν ἀπόπροθεν ἠέ τις ὄσσα,

ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
ἢ αὐτήν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
ἐνθένδ' εἰς Ἰαολκὸν ἀναρπάξασαι ἄελλαι,
ὄφρα σ' ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα
μνήσω ἐμῇ ἰότητι πεφυγμένον· αἴθε γὰρ εἴην
ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν.
Ὣς ἄρ' ἔφη, ἐλεεινὰ καταπροχέουσα παρειῶν
δάκρυα· τὴν δ' ὅγε δῆθεν ὑποβλήδην προσέειπεν.
δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
ὡς δὲ καὶ ἄγγελον ὄρνιν· ἐπεὶ μεταμώνια βάζεις.
εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
ἔσσεαι· οἱ δέ σε πάγχυ θεὸν ὣς πορσανέουσιν,
οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
καὶ θαλεροὶ κακότητος ἄδην ἐσάωθεν ἀκοῖται.
ἡμέτερον δὲ λέχος θαλάμοις ἐνὶ κουριδίοισι
πορσανέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος
ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι.
Ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ·
ἔμπης δ' ἔργ' ἀΐδηλα κατεῤῥίγησεν ἰδέσθαι
σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσασθαι ἔμελλεν
Ἑλλάδα ναιετάειν· ὣς γὰρ τόδε μήδετο Ἥρη,
ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται
Αἰαίη Μήδεια, λιποῦσά γε πατρίδα γαῖαν.
Ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπτεύουσαι ἄπωθεν
σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη
ἂψ οἰκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
ἡ δ' οὔπω κομιδῆς μιμνήσκετο, τέρπετο γάρ οἱ
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν,
εἰ μὴ ἄρ' Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα.
ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
ὀθνείων· αὖτις δ' ἀβολήσομεν ἐνθάδ' ἰόντες.
Ὣς τώγ' ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
πείρηθεν, μετὰ δ' αὖτε διέτμαγεν· ἤτοι Ἰήσων

εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι,
ἡ δὲ μετ' ἀμφιπόλους· αἱ δὲ σχεδὸν ἀντεβόλησαν
πᾶσαι ὁμοῦ· τὰς δ' οὔτι περιπλομένας ἐνόησεν.
ψυχὴ γὰρ νεφέεσσι μεταχθονίη πεπότητο.
αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ' ἀπήνης·
καί ῥ' ἑτέρῃ μὲν χειρὶ λάβ' ἡνία, τῇ δ' ἄρ' ἱμάσθλην
δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἱ δὲ πόλινδε
θῦνον ἐπειγόμενοι ποτὶ δώματα· τὴν δ' ἄρ' ἰοῦσαν
Χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν.
ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος, οὔτε τι μύθων
ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένῃ λελίητο·
ἷζε δ' ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν,
λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν.
ὑγρὰ δ' ἐνὶ βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα
οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.
Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
ἐν χώρῃ, ὅθι τούσγε καταπρολιπὼν ἐλιάσθη,
ὦρτ' ἰέναι σὺν τοῖσι, πιφαυσκόμενος τὰ ἕκαστα,
ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
οἱ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
δεῖξέ τε φάρμακον αἰνόν· ὁ δ' οἰόθεν οἷος ἑταίρων
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
γηθόσυνοι τῆμος μὲν, ἐπεὶ κνέφας ἔργαθε νυκτὸς,
εὔκηλοι μέλλοντο περὶ σφίσιν· αὐτὰρ ἅμ' ἠοῖ
πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
ἄνδρε δύω· πρὸ μὲν αὐτὸν ἀρηΐφιλον Τελαμῶνα,
σὺν δὲ καὶ Αἰθαλίδην, υἷα κλυτὸν Ἑρμείαο.
βὰν δ' ἴμεν· οὐδ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
κρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
Ἀονίοιο δράκοντος· ὃν Ὠγυγίῃ ἐνὶ Θήβῃ
Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανεν,
πέφνεν, Ἀρητιάδῃ κρήνῃ ἐπίουρον ἐόντα,
ἔνθα καὶ ἐννάσθη πομπῇ βοὸς, ἥν οἱ Ἀπόλλων
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
τοὺς δὲ θεὰ Τριτωνὶς ὑπ' ἐκ γενύων ἐλάσασα,

Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆϊ.
καί ῥ' ὁ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισι
Κάδμος Ἀγηνορίδης γαιηγενῆ εἵσατο λαόν,
Ἄρεος ἀμῶοντος ὅσοι ὑπὸ δουρὶ λίποντο.
τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
προφρονέως· ἐπεὶ οὔ μιν ὀΐσατο πείρατ' ἀέθλου
ἐξανύσειν, εἰ καί περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.
Ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
ἑσπέριος νεάτας ὑπὲρ ἄκριας Αἰθιοπήων·
Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἐπὶ ζυγά· τοὶ δὲ χαμεύνας
ἔντυον ἥρωες παρὰ πείσμασιν· αὐτὰρ Ἰήσων,
αὐτίκ' ἐπεί ῥ' Ἑλίκης εὐφεγγέος ἀστέρες ἄρκτου
ἔκλιθεν, οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθήρ,
βῆ ῥ' ἐς ἐρημαίην κλωπήϊος, ἠΰτε τὶς φώρ,
σὺν πᾶσι χρήεσσι· πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
ἠμάτιος· θῆλυν μὲν ὄϊν γάλα τ' ἔκτοθι ποίμνης
Ἄργος ἰὼν ἤνεικε, τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
ἀλλ' ὅτε δὴ ἴδε χῶρον, ὅ τις πάτου ἔκτοθεν ἦεν
ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἱαμενῇσιν,
ἔνθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
εὐαγέως θείοιο τέρεν δέμας· ἀμφὶ δὲ φᾶρος
ἕσσατο κυάνεον· τὸ μέν οἱ πάρος ἐγγυάλιξεν
Λημνιὰς Ὑψιπύλη, ἀδινῆς μνημήϊον εὐνῆς.
πηχυῖον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας,
νήησεν σχίζας· ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμόν·
αὐτόν τ' εὖ καθύπερθε τανύσσατο· δαῖε δὲ φιτροὺς
πῦρ ὑπένερθεν ἱείς· ἐπὶ δὲ μιγάδας χέε λοιβάς,
Βριμὼ κικλήσκων Ἑκάτην, ἐπαρωγὸν ἀέθλων.
καί ῥ' ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν· ἡ δ' ἀΐουσα
κευθμῶν ἐξ ὑπάτων δεινὴ θεὸς ἀντεβόλησεν
ἱροῖς Αἰσονίδαο· πέριξ δέ μιν ἐστεφάνωντο
σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες·
στράπτε δ' ἀπειρέσιον δαΐδων σέλας· ἀμφὶ δὲ τήν γε
ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
πείσεα δ' ἔτρεμε πάντα κατὰ στίβον· αἱ δ' ὀλόλυξαν
νύμφαι ἑλειονόμοι ποταμηΐδες, αἳ περὶ κείνην

Φάσιδος εἱαμενὴν Ἀμαραντίου εἱλίσσονται.
Αἰσονίδην δ' ἤτοι μὲν ἕλεν δέος, ἀλλά μιν οὐδ' ὧς
ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ' ἑτάροισι
μίκτο κιών· Ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
Καυκάσου ἠριγενὴς ἠὼς βάλεν ἀντέλλουσα.

Καὶ τότ' ἄρ' Αἰήτης περὶ μὲν στήθεσσιν ἕεστο
θώρηκα στάδιον, τόν οἱ πόρεν ἐξεναρίξας
σφωϊτέρης Φλεγραῖον Ἄρης ὑπὸ χερσὶ Μίμαντα·
χρυσείην δ' ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον,
λαμπομένην, οἷόν τε περίτροχον ἔπλετο φέγγος
ἠελίου, ὅτε πρῶτον ἀνέρχεται ὠκεανοῖο.
ἂν δὲ πολύῤῥινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος
δεινὸν, ἀμαιμάκετον· τὸ μὲν οὔ κέ τις ἄλλος ὑπέστη
ἀνδρῶν ἡρώων, ὅτε κάλλιπον Ἡρακλῆα
τῆλε παρὲξ, ὃ κεν οἷος ἐναντίβιον πτολέμιξεν.
τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
ἔσχε πέλας Φαέθων ἐπιβήμεναι· ἂν δὲ καὶ αὐτὸς
βήσατο, ῥυτῆρας δὲ χεροῖν ἔχεν· ἐκ δὲ πόληος
ἤλασεν εὐρεῖαν κατ' ἀμαξιτὸν, ὥς κεν ἀέθλῳ
παρσταίη· σὺν δέ σφιν ἀπείριτος ἔσσυτο λαός.
οἷος δ' Ἴσθμιον εἶσι Ποσειδάων ἐς ἀγῶνα
ἅρμασιν ἐμβεβαὼς, ἢ Ταίναρον, ἢ ὅγε Λέρνης
ὕδωρ, ἠὲ κατ' ἄλσος Ὑαντίου Ὀγχηστοῖο·
καί τε Καλαύρειαν μετὰ δῆθ' ἅμα νίσσεται ἵπποις,
πέτρην θ' Αἱμονίην, ἢ δενδρήεντα Γεραιστόν·
τοῖος ἄρ' Αἰήτης Κόλχων ἀγὸς ἦεν ἰδέσθαι.

Τόφρα δὲ Μηδείης ὑποθημοσύνησιν Ἰήσων
φάρμακα μυδήνας, ἠμὲν σάκος ἀμφεπάλυνεν,
ἠδὲ δόρυ βριαρὸν, περὶ δὲ ξίφος· ἀμφὶ δ' ἑταῖροι
πείρησαν τευχέων βεβιημένοι· οὐ δ' ἐδύναντο
κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ· ἀλλὰ μάλ' αὔτως
ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν.
αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων Ἀφαρήϊος Ἴδας,
κόψε παρ' οὐρίαχον μεγάλῳ ξίφει· ἆλτο δ' ἀκωκὴ,
ῥαιστὴρ ἄκμονος ὥστε, παλιντυπές· οἱ δ' ὁμάδησαν
γηθόσυνοι ἥρωες ἐπ' ἐλπωρῇσιν ἀέθλου.

καὶ δ' αὐτὸς μετέπειτα παλύνετο· δῦ δέ μιν ἀλκὴ
σμερδαλέη, ἄφατός τε καὶ ἄτρομος· αἱ δ' ἑκάτερθεν
χεῖρες ἐπεῤῥώσαντο περὶ σθένεϊ σφριγόωσαι.
ὡς δ' ὅτ' Ἀρήϊος ἵππος ἐελδόμενος πολέμοιο,
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθεν
κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει·
τοῖος ἄρ' Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων·
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν,
ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀΐσσουσαν
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
ἐκ νεφέων, ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
μέλλον· ἀτὰρ κληῖσιν ἐπισχερὼ ἱδρυνθέντες
ῥίμφα μάλ' ἐς πεδίον τὸ Ἀρήϊον ἠπείγοντο.
τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
ὅσσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
γίγνεται, ὁππότ' ἄεθλα καταφθιμένοιο ἄνακτος
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
τέτμον δ' Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων,
τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισι,
τὸν δ' αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον
νηὸς ἄπο προθορών· ἄμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα, θοῶν ἔμπλειον ὀδόντων,
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας· ἄλλα μὲν Ἄρει
εἴκελος, ἄλλα δέ που χρυσάορι Ἀπόλλωνι.
παπτήνας δ' ἀνὰ νειόν, ἴδε ζυγὰ χάλκεα ταύρων,
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
χρίμψε δ' ἔπειτα κιών· παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχῳ, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων· οἱ δ' ἔκποθεν ἀφράστοιο
κευθμῶνος χθονίου, ἵνα τε σφίσιν ἔσκε βόαυλα
καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,

ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον· αὐτὰρ ὁ τούσγε
εὖ διαβὰς ἐπιόντας, ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἱ δέ μιν ἄμφω
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν·
οὐδ' ἄρα μιν τυτθόν περ ἀνόχλισαν ἀντιόωντες.
ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐΰῤῥινοι χοάνοισιν
φῦσαι χαλκήων ὅτε μέν τ' ἀναμαρμαίρουσιν
πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀϋτμῆς·
δεινὸς δ' ἐξ αὐτοῦ πέλεται βρόμος, ὁππότ' ἀΐξει
νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
ἐκ στομάτων ὁμάδευν· τὸν δ' ἀμφί τε δήϊον αἶθος
βάλλεν ἅτε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
ζεύγλῃ χαλκείῃ· τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλὰξ,
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον· ὣς δὲ καὶ ἄλλον
σφῆλε γνὺξ ἐπιόντα μιῇ βεβολημένον ὁρμῇ.
εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος ἔνθα καὶ ἔνθα,
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἐλυσθείς,
θαύμασε δ' Αἰήτης σθένος ἀνέρος. Οἱ δ' ἄρα τείως
Τυνδαρίδαι (δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν)
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους· μεσσηγὺ δ' ἀείρας
χάλκεον ἱστοβοῆα, θοῇ συνάρασσε κορώνῃ
ζεύγληθεν· καὶ τὼ μὲν ὑπὲκ πυρὸς ἂψ ἐπὶ νῆα
χαζέσθην· ὁ δ' ἄρ' αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
ἐξόπιθεν· καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
πήληκα βριαρὴν, δόρυ τ' ἄσχετον, ᾧ ῥ' ὑπὸ μέσσας
ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
οὐτάζων λαγόνας· μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν
τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
οἱ δὲ τέως μὲν δὴ περιώσια θυμαίνεσκον,
λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ' ἀϋτμὴ,

ἠΰτε βυκτάων ἀνέμων βρόμος, οὕς τε μάλιστα
δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
δηρὸν δ' οὐ μετέπειτα κελευόμενοι ὑπὸ δουρὶ
ἤϊσαν· ὀκρυόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω
σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ' ἀροτῆρι.
δεινὸν δ' ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρότρου
βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ' αὐτὸς
βαθμὸν ἐπὶ στιβαρῷ πιέσας ποδί· τῆλε δ' ἑοῖο
βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας,
ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς· οἱ δ' ἄρ' ἐπιπρὸ
χαλκείης χηλῇσιν ἐρειδόμενοι πονέοντο.
ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,
τῆμος ἀρήροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι,
τετράγυός περ ἐοῦσα· βοῶν τ' ἀπελύετ' ἄροτρα.
καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι·
αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ' ἔτι κεινὰς
γηγενέων ἀνδρῶν ἴδεν αὔλακας· ἀμφὶ δ' ἑταῖροι
θάρσυνον μύθοισιν· ὁ δ' ἐκ ποταμοῖο ῥοάων
αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν.
γνάμψε δὲ γούνατ' ἐλαφρὰ, μέγαν δ' ἐμπλήσατο θυμὸν
ἀλκῆς μαιμώων· συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας
θήγει θηρευτῇσιν ἐπ' ἀνδράσιν· ἀμφὶ δὲ πολλὸς
ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
οἱ δ' ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
γηγενέες, φρῖξαν δὲ περὶ στιβαροῖς σακέεσσιν,
δούρασί τ' ἀμφιγύοις, κορύθεσσί τε λαμπομένῃσιν,
ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ' αἴγλη
νειόθεν Οὔλυμπόνδε δι' ἠέρος ἀστράπτουσα.
ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος,
ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
λυγαίῃ ὑπὸ νυκτὶ, τὰ δ' ἀθρόα πάντα φαάνθη
τείρεα λαμπετόωντα διὰ κνέφας· ὡς ἄρα τοίγε
λάμπον ἀναλδήσκοντες ὑπὲρ χθονός· αὐτὰρ Ἰήσων

μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων·
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
αἰζηοὶ πίσυρες γαίης ἀπὸ τυτθὸν ἄειραν.
τόν ῥ' ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσσοις
ἀΐξας· αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρη
θαρσαλέως· Κόλχοι δὲ μέγ' ἴαχον, ὡς ὅτε πόντος
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσιν.
τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο
Αἰήτην· οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
ἀλλήλους βρυχηδὸν ἐδήϊον· οἱ δ' ἐπὶ γαῖαν
μητέρα πίπτον ἑοῖς ὑπὸ δούρασιν, ἠΰτε πεῦκαι,
ἢ δρύες, ἅστ' ἀνέμοιο καταΐκες δονέουσιν.
οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ
ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν οἵ μιν ἴδωνται
μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀΐξαντα·
τοῖος Ἄρ' Αἴσονος υἱὸς ἐπέσσυτο γηγενέεσσιν.
γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος· οὖτα δὲ μίγδην
ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε,
ἡμίσεας δ' ἀνέχοντας ἐς ἠέρα· τοὺς δὲ, καὶ ἄχρις
ὤμων στελλομένους· τοὺς δὲ, νέον ἑστηῶτας·
τοὺς δ' ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς Ἄρηα.
ὡς δ' ὁπότ' ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο,
δείσας γειομόρος μή οἱ προτάμωνται ἀρούρας,
ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς,
ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐδὲ βολῇσι
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
ὣς τότε γηγενέων κείρει στάχυν· αἵματι δ' ὁλκοὶ
ἠΰτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσιν·
πίπτον δ', οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ὀδοῦσιν
λαζόμενοι πρηνεῖς· οἱ δ' ἔμπαλιν, οἱ δ' ἐπ' ἀγοστῷ
καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
πολλοὶ δ' οὐτάμενοι, πρὶν ὑπὸ χθονὸς ἴχνος ἀεῖραι,
ὅσσον ἄνω προὔτυψαν ἐς ἠέρα, τόσσον ἔραζε
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
ἔρνεά που τοίως Διὸς ἄσπετον ὀμβρήσαντος,

φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·
τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
κλήρου σημαντῆρα φυτοτρόφον· ὣς τότ' ἄνακτος
Αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνῖαι.
ἤϊε δ' ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις,
πορφύρων, ἤ κέ σφι θοώτερον ἀντιόῳτο.
ἦμαρ ἔδυ, καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

# CALLIMACHUS.

FLOR. CIRCA CCL. ANNUM ANTE CHRISTUM.

HYMNUS AD APOLLINEM.
———— AD DIANAM.
ELEGIA AD MINERVÆ LAVACRA.

# CALLIMACHUS.

## HYMNUS IN APOLLINEM.

ΟΙΟΝ ὁ τἀπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
οἷα δ' ὅλον τὸ μέλαθρον. ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
οὐχ ὁράᾳς; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκ ἔτι μακράν.
οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ἀπόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅ τις ἐσθλός.
ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λειτὸς ἐκεῖνος.
ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λειτοί.
μήτε σιωπηλὴν κίθαριν, μήτ' ἄψοφον ἴχνος
τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκ ἔτ' ἀεργός.
εὐφημεῖτ' ἀΐοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ.
εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππότ' ἰὴ παιῆον, ἰὴ παιῆον ἀκούσῃ.
καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
ὅστις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
ἰὴ, ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο.
Τὸν χορὸν Ἀπόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
τιμήσει· δύναται γάρ, ἐπεὶ Διῒ δεξιὸς ἧσται.

οὐδ' ὁ χορὸς τὸν Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει·
ἔστι γὰρ εὔυμνος· τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
χρύσεα τἀπόλλωνι, τό τ' ἐνδυτὸν, ἥ τ' ἐπιπορπὶς,
ἥ τε λύρη, τό τ' ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη·
χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ Ἀπόλλων,
καί τε πολυκτέανος· Πυθῶνί κε τεκμήραιο.
καὶ μὲν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
θηλείαις οὐδ' ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
ἀλλ' αὐτὴν πανάκειαν. ἐν ἄστεϊ δ', ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
Τέχνῃ δ' ἀμφιλαφὴς οὔ τις τόσον ὅσσον Ἀπόλλων.
κεῖνος ὀϊστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν·
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
κείνου δὲ θριαὶ, καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν, ἐξέτι κείνου
ἐξότ' ἐπ' Ἀμφρυσῷ ζευγίτιδας ἔτρεφεν ἵππους.
Ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
δεύοιντο βρεφέων ἔτι μηκάδες, ᾗσιν Ἀπόλλων
βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν· οὐδ' ἀγάλακτες
οἴιες, οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι,
ἡ δέ κε μουνοτόκος διδυμητόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
ἄνθρωποι· Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
κτιζομένῃς· αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
καλῇ ἐν Ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ Βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ·
καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ

δεξιὸς οἰκιστῆρι, καὶ ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν. ἀεὶ δ᾽ εὔορκος Ἀπόλλων.
Ὦ 'πολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
πολλοὶ δὲ Κλάριον· πάντη δέ τοι οὔνομα πουλύ·
αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώϊον· οὕτω
Σπάρτη· σοὶ, Καρνεῖε, τόδε πρώτιστον ἕδεθλον,
δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνη.
ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ.
δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον· ἐν δὲ πόληϊ
θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοὶ
ὑστάτιον πίπτουσιν ἐπ᾽ ἰσχίον, ὦ ἄνα, ταῦροι.
Ἰὴ, ἰὴ, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα περ Ὧραι
ποικίλ᾽ ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἀέναον πῦρ,
οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
ἦ ῥ᾽ ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς
ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσης,
τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον Ὧραι.
οἱ δ᾽ οὔπω πηγῆς Κυρῆς ἐδύναντο πελάσσαι
Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιριν ἔναιον.
τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς, ἑῇ δ᾽ ἐπεδείξατο νύμφῃ,
στὰς ἐπὶ Μυρτούσσης κερατώδεος· ἧχι λέοντα
Ὑψηῒς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
οὐδὲ πόλει τόσ᾽ ἔνειμεν ὀφέλσιμα τόσσα Κυρήνῃ,
μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
Ἰὴ, ἰὴ, Παιῆον, ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ᾽ ἄλλῳ
βάλλων ὠκὺν ὀϊστόν· ἐπηΰτησε δὲ λαὸς,

ἰὴ, ἰὴ, παιῆον, ἱεὶ βέλος. εὐθὺ σε μήτηρ
γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξέτι κεῖθεν ἀείδῃ.
ὁ Φθόνος Ἀπόλλωνος ἐς οὔατα λάθριος εἶπεν,
οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐχ ὅσα πόντος, ἀείδει.
τὸν Φθόνον Ἁπόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος· ἀλλὰ τὰ πολλὰ
λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
χαῖρε ἄναξ, ὁ δὲ Μῶμος, ἵν' ὁ φθόνος, ἔνθα νέοιτο.

# HYMNUS AD DIANAM.

ΑΡΤΕΜΙΝ· οὐ γὰρ ἐλαφρὸς ἀειδόντεσσι λαθέσθαι·
ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται,
καὶ χορὸς ἀμφιλαφὴς, καὶ ἐν οὔρεσιν ἑψιάασθαι.
ἄρχμενοι ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα, τάδε προσέειπε γονῆα·
Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
καὶ πολυωνυμίην· ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξον. ἔα πάτερ· οὐ σε φαρέτρην,
οὐδ' αἰτέω μέγα τόξον· ἐμοὶ Κύκλωπες ὀϊστοὺς
αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα·
ἀλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτὸν, ἵν' ἄγρια θηρία καίνω.
δὸς δέ μοι ἑξήκοντα χορήτιδας Ὠκεανίνας,
πάσας οἰέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
δὸς δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας,
αἵτε μοι ἐνδρομίδας τε, καὶ, ὁππότε μηκέτι λύγκας
μήτ' ἐλάφους βάλλοιμι, θοὰς κύνας εὖ κομέοιεν.
δὸς δέ μοι οὔρεα πάντα· πόλιν δέ μοι ἥντινα νεῖμον,

ἥντινα λῇς· σπαρνὸν γὰρ ὅτ' Ἄρτεμις ἄστυ κάτεισιν.
οὔρεσιν οἰκήσω· πόλεσιν δ' ἐπιμίξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον· ᾗσί με Μοῖραι
γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν·
Ὣς ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρὸς
ἅψασθαι, πολλὰς δὲ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας·
φὴ δὲ καταῤῥέζων, ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
χωομένης ἀλέγοιμι. φέρευ, τέκος, ὅσσ' ἐθελημὸς
αἰτίζεις, καί τ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει·
τρὶς δέκα τοι πτολίεθρα, καὶ οὐχ ἕνα πύργον ὀπάσσω·
τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
εἴσεται, ἀλλὰ μόνην σὲ, καὶ Ἀρτέμιδος καλέεσθαι.
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι,
μεσσόγεως, νήσους τε· καὶ ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος. ὣς ὁ μὲν εἰπὼν
μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
Λευκὸν ἔπι, Κρηταῖον ὄρος, κεκομημένον ὕλῃ·
ἔνθεν ἐπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
πάσας οἰέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθὺς,
οὕνεκα θυγατέρας Λητωΐδι πέμπεν ἀμορβούς.
αὖθι δὲ Κύκλωπας μετεκίαθε· τοὺς μὲν ἔτετμε
νήσῳ ἐνὶ Λιπάρῃ· Λιπάρη νέον, ἀλλὰ τότ' ἔσκεν
οὔνομά οἱ Μελιγουνίς· ἐπ' ἄκμοσιν Ἡφαίστοιο
ἑσταότας περὶ μύδρον· ἐπείγετο γὰρ μέγα ἔργον·
ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ' ἔδδεισαν, ὅπως ἴδον αἰνὰ πέλωρα,
πρηόσιν Ὀσσείοισιν ἐοικότα· πᾶσι δ' ὑπ' ὀφρὺν
φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
δεινὸν ὑπογλαύσσοντα· καὶ ὁππότε δοῦπον ἄκουσαν
ἄκμονος ἠχήσαντος ἐπὶ μέγα, πουλύ τ' ἄημα
φυσάων, αὐτῶν τε βαρὺν στόνον· αὖε γὰρ Αἴτνη,

ἰὴ, ἰὴ, παιῆον, ἱεὶ βέλος. εὐθὺ σὲ μήτηρ
γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξέτι κεῖθεν ἀείδῃ.
ὁ Φθόνος Ἀπόλλωνος ἐς οὔατα λάθριος εἶπεν,
οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐχ ὅσα πόντος, ἀείδει.
τὸν Φθόνον Ἀπόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος· ἀλλὰ τὰ πολλὰ
λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
χαῖρε ἄναξ, ὁ δὲ Μῶμος, ἵν' ὁ φθόνος, ἔνθα νέοιτο.

# HYMNUS AD DIANAM.

ΑΡΤΕΜΙΝ· οὐ γὰρ ἐλαφρὸς ἀειδόντεσσι λαθέσθαι·
ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται,
καὶ χορὸς ἀμφιλαφὴς, καὶ ἐν οὔρεσιν ἑψιάασθαι.
ἄρχμενοι ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα, τάδε προσέειπε γονῆα·
Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
καὶ πολυωνυμίην· ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξον. ἔα πάτερ· οὐ σὲ φαρέτρην,
οὐδ' αἰτέω μέγα τόξον· ἐμοὶ Κύκλωπες ὀϊστοὺς
αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα·
ἀλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτὸν, ἵν' ἄγρια θηρία καίνω.
δὸς δέ μοι ἑξήκοντα χορήτιδας Ὠκεανίνας,
πάσας οἰέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
δὸς δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας,
αἵτε μοι ἐνδρομίδας τε, καὶ, ὁππότε μηκέτι λύγκας
μήτ' ἐλάφους βάλλοιμι, θοὰς κύνας εὖ κομέοιεν.
δὸς δέ μοι οὔρεα πάντα· πόλιν δέ μοι ἥντινα νεῖμον,

ἥντινα λῇς· σπαρνὸν γὰρ ὅτ' Ἄρτεμις ἄστυ κάτεισιν.
οὔρεσιν οἰκήσω· πόλεσιν δ' ἐπιμίξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον· ᾗσί με Μοῖραι
γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν·
Ὣς ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρὸς
ἅψασθαι, πολλὰς δὲ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας·
φῆ δὲ καταῤῥέζων, ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
χωομένης ἀλέγοιμι. φέρευ, τέκος, ὅσσ' ἐθελημὸς
αἰτίζεις, καί τ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει·
τρὶς δέκα τοι πτολίεθρα, καὶ οὐχ ἕνα πύργον ὀπάσσω·
τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
εἴσεται, ἀλλὰ μόνην σὲ, καὶ Ἀρτέμιδος καλέεσθαι.
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι,
μεσσόγεως, νήσους τε· καὶ ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος. ὣς ὁ μὲν εἰπὼν
μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
Λευκὸν ἔπι, Κρηταῖον ὄρος, κεκομημένον ὕλῃ·
ἔνθεν ἔπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
πάσας οἰέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθὺς,
οὕνεκα θυγατέρας Λητωΐδι πέμπεν ἀμορβούς.
αὖθι δὲ Κύκλωπας μετεκίαθε· τοὺς μὲν ἔτετμε
νήσῳ ἐνὶ Λιπάρῃ· Λιπάρη νέον, ἀλλὰ τότ' ἔσκεν
οὔνομά οἱ Μελιγουνίς· ἐπ' ἄκμοσιν Ἡφαίστοιο
ἑσταότας περὶ μύδρον· ἐπείγετο γὰρ μέγα ἔργον·
ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ' ἔδδεισαν, ὅπως ἴδον αἰνὰ πέλωρα,
πρηόσιν Ὀσσείοισιν ἐοικότα· πᾶσι δ' ὑπ' ὀφρὺν
φάεα μουνόγληνα, σάκει ἶσα τετραβοείῳ,
δεινὸν ὑπογλαύσσοντα· καὶ ὁππότε δοῦπον ἄκουσαν
ἄκμονος ἠχήσαντος ἐπὶ μέγα, πουλύ τ' ἄημα
φυσάων, αὐτῶν τε βαρὺν στόνον· αὖε γὰρ Αἴτνη,

αὖε δὲ Τρινακρίη, Σικανῶν ἕδος, αὖε δὲ γείτων
Ἰταλίη· μεγάλην δὲ βοὴν ἐπὶ Κυρνὸς ἄϋτει.
εὖθ' οἵγε, ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
ἢ χαλκὸν ζείοντα καμινόθεν, ἠὲ σίδηρον,
ἀμβολαδὶς τετύποντες, ἐπὶ μέγα μοχθήσειαν.
τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
οὔτ' ἄντην ἰδέειν, οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις· κείνους δὲ καὶ αἱ μάλα μηκέτι τυτθαὶ
οὐδέποτ' ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.
ἀλλ' ὅτε κουράων τὶς ἀπειθέα μητέρι τεύχει,
μήτηρ μὲν Κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
Ἄργην, ἢ Στερόπην· ὁ δὲ δώματος ἐκ μυχάτοιο
ἔρχεται ἑρμεμάως, σποδιῇ κεχριμένος αἰθῇ.
αὐτίκα τὴν κούρην μορμύσσεται· ἡ δὲ τεκούσης
δύνει ἔσω κόλπους, θεμένη ἐπὶ φάεσι χεῖρας.
κοῦρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
εὖτ' ἔμολεν Λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίστου καλέοντος ὅπως ὀπτήρια δοίη,
Βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
ὤλοψας δὲ βίηφι· τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσῃ
φωτὸς ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος·
Κύκλωπες, κἀμοί τι Κυδώνιον, εἰ δ' ἄγε, τόξον,
ἠδ' ἰοὺς, κοίλην τε κατακληῖδα βελέμνων
τεύξατε· καὶ γὰρ ἐγὼ Λητωϊὰς, ὥσπερ Ἀπόλλων.
αἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τόδε κεν Κύκλωπες ἔδοιεν.
Ἔννεπες· οἱ δ' ἐτέλεσσαν· ἄφαρ δ' ὡπλίσσαο, δαῖμον.
αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤϊες· ἵκεο δ' αὖλιν
Ἀρκαδικὴν ἐπὶ Πανός. ὁ δὲ κρέα λυγκὸς ἔταμνε
Μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
τὶν δ' ὁ γενειήτης δύο μὲν κύνας ἥμισυ πηγοὺς,
τρεῖς δὲ πὸρ' οὐατίους, ἕνα δ' αἰόλον· οἵ ῥα λέοντας
αὐτοὺς αὖ ἐρύοντες, ὅτε δράξαιντο δεράων,

εἷλκον ἔτι ζώοντας ἐπ' αὐλίον· ἑπτὰ δ' ἔδωκε
θάσσονας αὐράων κυνοσουρίδας, αἵ ῥα διῶξαι
ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωὸν,
καὶ κοίτην ἐλάφοιο, καὶ ὕστριχος ἔνθα καλιαὶ
σημῆναι, καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσαθαι.
ἔνθεν ἀπερχομένη· μέτα καὶ κύνες ἐσσεύοντο·
εὗρες ἐπὶ προβολῇς ὄρεος τοῦ Παῤῥασίοιο
σκαιρούσας ἐλάφους, μέγα τι χρέος· αἱ μὲν ἐπ' ὄχθῃς
αἰὲν ἐβουκολέοντο μελαμψήφιδος Ἀναύρου,
μάσσονες ἢ ταῦροι· κεράων δ' ἀπελάμπετο χρυσός.
ἐξαπίνης δ' ἔταφές τε καὶ ὃν ποτὶ θυμὸν ἔειπες,
τοῦτό κεν Ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.
πέντ' ἔσαν αἱ πᾶσαι· πίσυρας δ' ἕλες ὦκα θέουσα,
νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέροιεν.
τὴν δὲ μίαν, Κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν,
Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ
ὕστερον ὄφρα γένοιτο, πάγος Κερύνειος ἔδεκτο.
Ἄρτεμι παρθενίη, Τιτυοκτόνε, χρύσεα μέν τοι
ἔντεα καὶ ζώνη, χρύσεον δ' ἐζεύξαο δίφρον,
ἐν δ' ἐβάλευ χρύσεια, θεὰ, κεμάδεσσι χαλινά.
ποῦ δέ σε τὸ πρῶτον κερόεις ὄχος ἤρξατ' ἀείρειν;
Αἵμῳ ἔπι Θρῄϊκι, τόθεν Βορέαο καταΐξ
ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγουσα.
ποῦ δ' ἔταμες πεύκην; ἀπὸ δὲ φλογὸς ἥψαο ποίης;
Μυσῷ ἐν Οὐλύμπῳ· φάεος δ' ἐνέηκας ἀϋτμὴν
ἀσβέστου, τό ῥα πατρὸς ἀποστάζουσι κεραυνοί.
ποσσάκι δ' ἀργυρέοιο, θεὴ, πειρήσαο τόξου;
πρῶτον ἐπὶ πτελέην, τὸ δὲ δεύτερον ἧκας ἐπὶ δρῦν,
τὸ τρίτον αὖτ' ἐπὶ θῆρα· τὸ τέτρατον οὐκ ἔτ' ἐπὶ δρῦν,
ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν, οἵ τε περὶ σφέας,
οἵ τε περὶ ξείνους ἀλιτήμονα πόλλ' ἐτέλεσκον.
σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν.
κτήνεά σφιν λοιμὸς καταβόσκεται, ἔργα δὲ πάχνη·
κείρονται δὲ γέροντες ἐφ' υἱάσιν· αἱ δὲ γυναῖκες
ἢ βληταὶ θνήσκουσι λεχωΐδες, ἠὲ φυγοῦσαι
τίκτουσιν. τῶν δ' οὐδὲν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέστη.

οὓς δέ κεν εὐμειδής τε καὶ ἵλαος αὐγάσσηαι,
κείνοις εὖ μὲν ἄρουρα φέρει στάχυν, εὖ δὲ γενέθλη
τετραπόδων, εὖ δ᾽ ὄλβος ἀέξεται, οὐδ᾽ ἐπὶ σῆμα
ἔρχονται, πλὴν εὖτε πολυχρόνιόν τι φέρωσιν.
οὐδὲ διχοστασίη τρώει γένος, ἥτε καὶ εὖ περ
οἴκους ἑστηῶτας ἐσίνατο· ταὶ δὲ θυωρὸν
εἰνάτερες γαλόῳ τε μίαν πέρι δίφρα τίθενται.
Πότνια, τῶν εἴη μὲν ἐμοὶ φίλος ὅστις ἀληθὴς,
εἴην δ᾽ αὐτὸς, ἄνασσα· μέλοι δέ μοι αἰὲν ἀοιδὴ,
τῇ ἔνι μὲν Λητοῦς γάμος ἔσσεται, ἐν δὲ σὺ πολλὴ,
ἐν δὲ καὶ Ἀπόλλων, ἐν δ᾽ οἱ σέο πάντες ἄεθλοι.
ἐν δὲ κύνες, καὶ τόξα, καὶ ἄντυγες, αἵ τε σε ῥεῖα
θηητὴν φορέουσιν, ὅτ᾽ ἐς Διὸς οἶκον ἐλαύνεις.
ἔνθά τοι ἀντιόωντες ἐνὶ προβολῇσι δέχονται,
ὅπλα μὲν Ἑρμείης Ἀκακήσιος, αὐτὰρ Ἀπόλλων
θηρίον ὅττι φέρῃσθα· πάροιθέ γε, πρίν περ ἱκέσθαι
καρτερὸν Ἀλκείδην· νῦν δ᾽ οὐκ ἔτι τοῦτον ἄεθλον
Φοῖβος ἔχει· τοῖος γὰρ ἀεὶ Τιρύνθιος ἄκμων
ἕστηκε πρὸ πυλέων, ποτιδέγμενος εἴ τι φέρουσα
νεῖαι πῖον ἔδεσμα· θεοὶ δ᾽ ἐπὶ πάντες ἐκείνῳ
ἄλληκτον γελόωσι, μάλιστα δὲ πενθερὴ αὐτὴ,
ταῦρον ὅτ᾽ ἐκ δίφροιο μάλα μέγαν, ἢ ὅγε χλούνην
κάπρον ὀπισθιδίοιο φέροι ποδὸς ἀσπαίροντα.
κερδαλέῳ μύθῳ σε, θεὴ, μάλα τῷδε πινύσκει·
βάλλε κακοὺς ἐπὶ θῆρας, ἵνα θνητοὶ σὲ βοηθὸν,
ὡς ἐμὲ, κικλήσκωσιν. ἔα πρόκας ἠδὲ λαγωοὺς
οὔρεα βόσκεσθαι· τί δέ κεν πρόκες ἠδὲ λαγωοὶ
ῥέξειαν; σύες ἔργα, σύες φυτὰ λυμαίνονται·
καὶ βόες ἀνθρώποισι κακὸν μέγα βάλλ᾽ ἐπὶ καὶ τούς.
ὣς ἔνεπεν, ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖτο.
οὐ γὰρ ὅγε, Φρυγίῃ περ ὑπὸ δρυῒ γυῖα θεωθεὶς,
παύσατ᾽ ἀδηφαγίης. ἔτι οἱ πάρα νηδὺς ἐκείνη
τῇ ποτ᾽ ἀροτριάοντι συνήντετο Θειοδάμαντι.
Σοὶ δ᾽ Ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
ψήχουσιν κεμάδας, παρὰ δέ σφισι πουλὺ νέμεσθαι
Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν

ὠκύθοον τριπέτηλον· ὃ καὶ Διὸς ἵπποι ἔδουσιν.
ἐν καὶ χρυσείας ὑποληνίδας ἐπλήσαντο
ὕδατος, ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι· οἱ δέ σ' ἐφ' ἕδρην
πάντες ὁμῶς καλέουσι· σὺ δ' Ἀπόλλωνι παρίζεις.
ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
ἀγχόθι πηγάων Αἰγυπτίου Ἰνωποῖο,
ἢ Πιτάνης· καὶ γὰρ Πιτάνη σέθεν· ἢ ἐνὶ Λίμναις,
ἢ ἵνα, δαῖμον, Ἁλὰς Ἀραφηνίδας οἰκήσουσα
ἦλθες ἀπὸ Σκυθίης, ἀπὸ δ' εἴπαο τέθμια Ταύρων,
μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι.
ἦ γάρ κεν γυιαί τε καὶ αὐχένα κεκμηυῖαι
κόπρον ἔπι προγένοιντο, καὶ εἰ Τυμφαιΐδες εἶεν,
εἰναετιζόμεναι, κεραελκέες, αἳ μέγ' ἄρισται
τέμνειν ὦλκα βαθεῖαν· ἐπεὶ θεὸς οὔποτ' ἐκεῖνον
ἦλθε παρ' Ἥλιος καλὸν χορόν· ἀλλὰ θεῆται
δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.
Τίς δέ νυ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον;
τίς δὲ λιμήν; ποίη δὲ πόλις; τίνα δ' ἔξοχα νυμφέων
φίλαο, καὶ ποίας ἡρωΐδας ἔσχες ἑταίρας;
εἰπὲ θεά, σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
νήσων μὲν Δολίχη, πολίων δέ τοι εὔαδε Πέργη,
Τηΰγετον δ' ὀρέων, λιμένες γε μὲν Εὐρίποιο.
ἔξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
ἐλλοφόνον, Βριτόμαρτιν, ἐΰσκοπον· ἧς ποτε Μίνως
πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα Κρήτης.
ἡ δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
ἄλλοτε δ' εἱαμενῇσιν· ὁ δ' ἐννέα μῆνας ἐφοίτα
παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκτύν,
μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδόν, ἥλατο πόντον
πρηόνος ἐξ ὑπάτοιο, καὶ ἔνθορεν εἰς ἁλιήων
δίκτυα, τά σφ' ἐσάωσεν· ὅθεν μετέπειτα Κύδωνες
νύμφην μὲν Δίκτυνναν, ὄρος δ', ὅθεν ἥλατο νύμφη,
Δικταῖον καλέουσιν· ἀνεστήσαντο δὲ βωμούς,
ἱερά τε ῥέζουσι. τὸ δὲ στέφος ἤματι κείνῳ

ἢ πίτυς, ἢ σχῖνος· μύρτοιο δὲ χεῖρες ἄθικτοι.
δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
τῆς κούρης, ὅτ' ἔφευγεν· ὅθεν μέγα χώσατο μύρτῳ.
Οὖπι ἄνασσ', εὐῶπι, φαεσφόρε, καί σε δὲ κείνης
Κρηταέες καλέουσιν ἐπωνυμίην ἀπὸ νύμφης.
καὶ μὴν Κυρήνην ἑταρίσσαο, τῇ ποτ' ἔδωκας
αὐτὴ θηρητῆρε δύω κύνε, τοῖς ἔνι κούρη
Ὑψηῒς παρὰ τύμβον Ἰώλκιον ἔμμορ' ἀέθλου.
καὶ Κεφάλου ξανθὴν ἄλοχον Δηϊονίδαο,
πότνια, σὴν ὁμόθηρον ἐθήκαο· καί σε δὲ φασὶ
καλὴν Ἀντίκλειαν ἴσον φάεεσσι φιλῆσαι.
αἳ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
ἰοδόκους ἐφόρησαν· ἀσύλωτοι δέ φιν ὦμοι
δεξιτεροὶ, καὶ γυμνὸς ἀεὶ παρεφαίνετο μαζός.
ᾔνησας δ' ἔτι πάγχυ ποδοῤῥώην Ἀταλάντην
κούρην Ἰασίοιο συοκτόνον Ἀρκασίδαο,
καί ἑ κυνηλασίην τε καὶ εὐστοχίην ἐδίδαξας.
οὐ μὶν ἐπίκλητοι Καλυδωνίου ἀγρευτῆρες
μέμφονται κάπροιο· τὰ γὰρ σημήϊα νίκης
Ἀρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρὸς ὀδόντας.
οὐδὲ μὲν Ὑλαῖόν τε καὶ ἄφρονα Ῥοῖτον ἔολπα,
οὐδέ περ ἐχθαίροντας, ἐν ἄϊδι μωμήσεσθαι
τοξότιν· οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,
τάων Μαιναλίη νᾶεν φόνῳ ἀκρώρεια.
Πότνια, πουλυμέλαθρε, πολύπτολι, χαῖρε Χιτώνη,
Μιλήτῳ ἐπίδημε· σὲ γὰρ ποιήσατο Νηλεὺς
ἡγέμον' ἦν, ὅτε νηυσὶν ἀνήγετο Κεκροπίηθεν.
Χησιὰς, Ἰμβρασίη, πρωτόθρονε· σοὶ δ' Ἀγαμέμνων
πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ,
μείλιον ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας·
Τεύκρων ἡνίκα νῆες Ἀχαιΐδες ἄστεα κήδειν
ἔπλεον, ἀμφ' Ἑλένῃ Ῥαμνουσίδι θυμωθεῖσαι.
ἦ μέν τοι Προῖτός γε δύω ἐκαθείσατο νηούς·
ἄλλον μὲν Κορίης, ὅτι οἱ συνελέξαο κούρας
οὔρεα πλαζομένας Ἀζήνια· τὸν δ' ἐνὶ Λούσσοις
Ἡμέρῃ, οὕνεκα θυμὸν ἀπ' ἄγριον εἵλεο παίδων.

σοὶ καὶ Ἀμαζονίδες πολέμου ἐπιθυμήτειραι
ἔν ποτε παῤῥαλίῃ Ἐφέσῳ βρέτας ἱδρύσαντο,
φηγῷ ὑπὸ πρέμνῳ· τέλεσεν δέ τοι ἱερὸν Ἱππώ·
αὐταὶ δ', Οὖπι ἄνασσα, περὶ πρύλιν ὠρχήσαντο,
πρῶτα μὲν, ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ, κύκλῳ
στησάμεναι χορὸν εὐρύν· ὑπήεισαν δὲ λιγεῖαι
λεπταλέον σύριγγες, ἵνα πλίσσωσιν ὁμαρτῇ.
οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήνοντο,
ἔργον Ἀθηναίης, ἐλάφῳ κακόν· ἔδραμε δ' ἠχὼ
Σάρδιας, ἔς τε νομὸν Βερεκύνθιον· αἱ δὲ πόδεσσιν
οὖλα κατεκροτάλιζον, ἐπεψόφεον δὲ φαρέτραι.
κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρὺ θέμεθλον
δωμήθη· τοῦ δ' οὔ τι θεώτερον ὄψεται Ἠώς,
οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε
Λύγδαμις ὑβριστής· ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
ἤγαγε Κιμμερίων, ψαμάθῳ ἶσον, οἵ ῥα παρ' αὐτὸν
κεκλιμένοι ναίουσι βοὸς πόρον Ἰναχιώνης.
ἆ δειλὸς βασιλέων, ὅσον ἤλιτεν· οὐ γὰρ ἔμελλεν
οὔτ' αὐτὸς Σκυθίηνδε παλιμπετὲς, οὔτε τις ἄλλος,
ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσταν ἄμαξαι,
νοστήσειν· Ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
Πότνια Μουνυχίη, λιμενοσκόπε, χαῖρε, Φεραίη.
μή τις ἀτιμήσῃ τὴν Ἄρτεμιν· οὐδὲ γὰρ Οἰνεῖ
βωμὸν ἀτιμήσαντι καλοὶ πτόλιν ἦλθον ἀγῶνες·
μηδ' ἐλαφηβολίην, μηδ' εὐστοχίην ἐριδαίνειν·
οὐδὲ γὰρ Ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
μηδέ τινα μνᾶσθαι τὴν παρθένον· οὐδὲ γὰρ Ὦτος,
οὐδὲ μὲν Ὠαρίων ἀγαθὸν γάμον ἐμνήστευσαν·
μηδὲ χορὸν φεύγειν ἐνιαύσιον· οὐδὲ γὰρ Ἱππὼ
ἀκλαυτὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι.
χαῖρε, μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.

# ELEGIA AD MINERVÆ LAVACRA.

ΟΣΣΑΙ λωτροχόοι τᾶς Παλλάδος, ἔξιτε πᾶσαι,
ἔξιτε. τᾶν ἵππων ἄρτι φρυασσομέναν
τᾶν ἱερᾶν ἐσάκουσα, καὶ ἁ θεὸς εὔτυκος ἕρπει·
σοῦσθέ νυν, ὦ ξανθαὶ, σοῦσθε Πελασγιάδες.
οὔ ποκ' Ἀθαναία μεγάλως ἀπενίψατο πάχεις,
πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων·
οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων.
ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
λυσαμένα, παγαῖς ἔκλυσεν Ὠκεανῶ
ἱδρῶ καὶ ῥαθάμιγγας· ἐφοίβασεν δὲ παγέντα
πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.
ὦ ἴτ', Ἀχαιϊάδες· καὶ μὴ μύρα, μηδ' ἀλαβάστρως·
συρίγγων ἀΐω φθόγγον ὑπαξονίον·
μὴ μύρα, λωτροχόοι, τᾷ Παλλάδι, μηδ' ἀλαβάστρως·
οὐ γὰρ Ἀθαναία χρίματα μικτὰ φιλεῖ·
οἴσετε· μηδὲ κάτοπτρον. ἀεὶ καλὸν ὄμμα τὸ τήνας.
οὐδ' ὅκα τὰν Ἴδᾳ Φρὺξ ἐδίκαζεν ἔριν,
οὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς, οὐδὲ Σιμοῦντος
ἔβλεψεν δίναν ἐς διαφαινομέναν·
οὐδ' Ἥρα· Κύπρις δὲ διαυγέα χαλκὸν ἑλοῖσα,
πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν.
ἁ δὲ, δὶς ἑξήκοντα διαθρέξασα διαύλως,
οἷα παρ' Εὐρώτᾳ τοὶ Λακεδαιμόνιοι
ἀστέρες, ἐμπεράμως ἐτρίψατο λειτὰ λαβοῖσα
χρίματα, τᾶς ἰδίας ἔκγονα φυταλιᾶς.
ὦ κῶραι, τὸ δ' ἔρευθος ἀνέδραμε, πρώϊον οἵαν
ἢ ῥόδον ἢ σίβδας κόκκος ἔχει χροΐαν.
τῷ καὶ νῦν ἄρσεν τε κομίσσατε μῶνον ἔλαιον,
ᾧ Κάστωρ, ᾧ καὶ χρίεται Ἡρακλέης.
οἴσετε καὶ κτένα οἱ παγχρύσεον, ὡς ἀπὸ χαίταν
πέξηται, λιπαρὸν σμασαμένα πλόκαμον.
ἔξιθ', Ἀθαναία· πάρα τοι καταθύμιος ἴλα,
παρθενικαὶ μεγάλων παῖδες Ἀκεστοριδᾶν.

ὦ 'θάνα, φέρεται δὲ καὶ ἁ Διομήδεος ἀσπὶς,
ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον
Εὐμήδης ἐδίδαξε, τεὶν κεχαρισμένος ἱρεύς·
ὅς ποτε, βουλευτὸν γνοὺς ἐπί οἱ θάνατον
δᾶμον ἑτοιμάζοντα, φυγᾷ τεὸν ἱρὸν ἄγαλμα
ᾤχετ' ἔχων, Κρεῖον δ' εἰς ὄρος ᾠκίσατο,
Κρεῖον ὄρος· σὲ δὲ, δαῖμον, ἀποῤῥώγεσσιν ἔθηκεν
ἐν πέτραις, αἷς νῦν οὔνομα Παλλατίδες.
ἔξιθ', Ἀθαναία περσέπτολι, χρυσεοπήληξ,
ἵππων καὶ σακέων ἁδομένα πατάγῳ.
σάμερον, ὑδροφόροι, μὴ βάπτετε· σάμερον, Ἄργος,
πίνετ' ἀπὸ κρανᾶν, μὴ δ' ἀπὸ τῶν ποταμῶν.
σάμερον, αἱ δῶλαι, τὰς κάλπιδας ἢ ἐς Φυσάδειαν,
ἢ ἐς Ἀμυμώνην οἴσετε τὰν Δαναῶ.
καὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μίξας
ἥξει φορβαίων Ἴναχος ἐξ ὀρέων,
τᾀθάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ, Πελασγὲ,
φράζεο μὴ οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
ὅς κεν ἴδῃ γυμνὰν τὰν Παλλάδα τὰν πελιοῦχον,
τῶργος ἐσοψεῖται τοῦτο πανυστάτιον.
πότνι' Ἀθαναία, σὺ μὲν ἔξιθι· μέσφα δ' ἐγώ τι
ταῖσδ' ἐρέω. μῦθος δ' οὐκ ἐμὸς, ἀλλ' ἑτέρων.
παῖδες, Ἀθαναία νύμφαν μίαν ἔν ποκα Θήβαις
πουλύ τι καὶ πέρι δὴ φίλατο τᾶν ἑταρᾶν,
ματέρα Τειρεσίαο, καὶ οὔποκα χωρὶς ἔγεντο·
ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ Θεσπιέων,
ἢ 'πὶ Κορωνείας. ἵνα οἱ τεθυωμένον ἄλσος,
καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ Κουραλίῳ·
ἢ 'πὶ Κορωνείας, ἢ εἰς Ἁλίαρτον ἐλαύνοι
ἵππως, Βοιωτῶν ἔργα διερχομένα·
πολλάκις ἁ δαίμων μιν ἑῷ ἐπεβήσατο δίφρῳ.
οὐδ' ὄαροι νυμφᾶν οὐδὲ χοροστασίαι
ἁδεῖαι τελέθεσκον, ὅτ' οὐχ ἁγεῖτο Χαρικλώ.
ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε,
καίπερ Ἀθαναίᾳ καταθύμιον εὖσαν ἑταίραν.
δή ποτε γὰρ πέπλων λυσαμένα περόνας,

Ἵππω ἐπὶ κράνᾳ Ἑλικωνίδι καλὰ ῥεοίσᾳ
λῶντο· μεσαμερινὰ δ' εἶχ' ὄρος ἀσυχία.
ἀμφότεραι λώοντο, μεσαμεριναὶ δ' ἔσαν ὧραι·
πολλὰ δ' ἀσυχία τῆνο κατεῖχεν ὄρος.
Τειρεσίας δ' ἔτι μοῦνος ἅμαι κυσὶν, ἄρτι γένεια
περκάσδων, ἱερὸν χῶρον ἀνεστρέφετο·
διψάσας δ' ἄφατόν τι, ποτὶ ῥόον ἤλυθε κράνας,
σχέτλιος· οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θεμίτ' ἦς.
τὸν δὲ χολωσαμένα περ, ὅμως προσέφασεν Ἀθάνα,
τίς σε, τὸν ὀφθαλμὼς οὐκ ἔτ' ἀποισόμενον,
ὦ Εὐηρείδα, χαλεπὰν ὁδὸν ἄγαγε δαίμων;
ἁ μὲν ἔφα, παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν.
ἐστάθη δ' ἄφθογγος· ἐκόλλασαν γὰρ ἀνίαι
γώνατα, καὶ φωνὰν ἔσχεν ἀμαχανία.
ἁ νύμφα δ' ἐβόασε, τί μοι τὸν κῶρον ἔρεξας,
πότνια; τοιαῦται δαίμονες ἐστὲ φίλαι;
ὄμματά μοι τῶ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε,
εἶδες Ἀθαναίας στάθεα καὶ λαγόνας·
ἀλλ' οὐκ ἀέλιον πάλιν ὄψεαι· ὦ ἐμὲ δειλὰν,
ὦ ὄρος, ὦ, Ἑλικὼν οὐκ ἔτι μοι παριτέ.
ἦ μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο· δόρκας ὀλέσσας,
καὶ πρόκας οὐ πολλὰς· φάεα παιδὸς ἔχεις.
εἶπε· καὶ ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα
μάτηρ μὲν γοερῶν οἶτον ἀηδονίδων
ἄγε βαρὺ κλαίοισα. θεὰ δ' ἐλέησεν ἑταίραν,
καί μιν Ἀθαναία πρὸς τόδ' ἔλεξεν ἔπος·
δῖα γύναι, μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι' ὀργὰν
εἶπας· ἐγὼ δ' οὔτοι τέκνον ἔθηκ' ἀλαόν·
οὐ γὰρ Ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
ἁρπάζειν· Κρόνιοι δ' ὧδε λέγοντι νόμοι.
ὅς κε τιν' ἀθανάτων, ὅκα μὴ θεὸς αὐτὸς ἕληται,
ἀθρήσῃ, μισθῷ τοῦτον ἰδεῖν μεγάλῳ.
δῖα γύναι, τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο
ἔργον· ἐπεὶ μοιρᾶν ὧδ' ἐπένευσε λίνα,
ἀνίκα τὸ πρῶτόν νιν ἐγείναο· νῦν δὲ κομίζευ,
ὦ Εὐηρείδα, τέλθος ὀφειλόμενον.

πόσσα μὲν ἁ Καδμηῒς ἐς ὕστερον ἔμπυρα καυσεῖ,
πόσσα δ' Ἀρισταῖος, τὸν μόνον εὐχόμενοι
παῖδα τὸν ἀβατὰν Ἀκταίονα τυφλὸν ἰδέσθαι.
καὶ τῆνος μεγάλας σύνδρομος Ἀρτέμιδος
ἔσσεται· ἀλλ' οὐκ αὐτὸν ὅ τε δρόμος αἵ τ' ἐν ὄρεσσι
ῥυσεῦνται ξυναὶ τᾶμος ἑκαβολίαι.
ὁππόταν οὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λοετρὰ
δαίμονος· ἀλλ' αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
τουτάκι δειπνασεῦντι. τὰ δ' υἱέος ὀστέα μάτηρ
λεξεῖται, δρυμὼς πάντας ἐπερχομένα·
ὀλβίσταν ἐρέει σὲ καὶ εὐαίωνα γενέσθαι,
ἐξ ὀρέων ἀλαὸν παῖδ' ὑποδεξαμέναν,
ὦ ἑτάρα· τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν,
ἦ μέγα τῶν ἄλλων δή τι περισσότερον.
γνωσεῖται δ' ὄρνιθας, ὃς αἴσιος, οἵ τε πέτονται
ἤλιθα, καὶ ποίων οὐκ ἀγαθαὶ πτέρυγες.
πολλὰ δὲ Βοιωτοῖσι θεοπρόπα, πολλὰ δὲ Κάδμῳ
χρησεῖ, καὶ μεγάλοις ὕστερα Λαβδακίδαις.
δωσῶ καὶ μέγα βάκτρον, ὅ οἱ πόδας ἐς δέον ἀξεῖ,
δωσῶ καὶ βιότω τέρμα πολυχρόνιον.
καὶ μόνος, εὖτε θάνῃ, πεπνυμένος ἐν νεκύεσσι
φοιτασεῖ, μεγάλῳ τίμιος Ἀγεσίλᾳ.
ὣς φαμένα κατένευσε· τὸ δ' ἐντελὲς ᾧ κ' ἐπινεύσῃ
Παλλάς· ἐπεὶ μοῦνᾳ Ζεὺς τόδε θυγατέρων
δῶκεν Ἀθαναίᾳ, πατρῷϊα πάντα φέρεσθαι.
λωτροχόοι, μάτηρ δ' οὔ τις ἔτικτε θεάν·
ἀλλὰ Διὸς κορυφά. κορυφὰ Διὸς ᾧ κ' ἐπινεύσῃ,
ἔμπεδον· ὡσαύτως ᾧ κέν οἱ ἁ θυγάτηρ.
ἔρχετ' Ἀθαναία νῦν ἀτρεκές· ἀλλὰ δέχεσθε
τὰν θεόν, ὦ κῶραι, τὦργος ὅσαις μέλεται,
σύν τ' εὐαγορίᾳ, σύν τ' εὔγμασι, σύν τ' ὀλολυγαῖς.
χαῖρε θεά, κάδευ δ' Ἄργεος Ἰναχίω.
χαῖρε καὶ ἐξελάοισα, καὶ ἐς πόλιν αὖτις ἐλάσσαις
ἵππως, καὶ Δαναῶν κλᾶρον ἅπαντα σάω.

# MELEAGER.

FLOR. C. ANNO ANTE CHRISTUM.

## EPIGRAMMATA.

XXVIII. LVIII. LXI. LXVII. LXXIII. LXXIX. LXXX. LXXXVI. LXXXVII. XCI. XCII. XCV. CIV. CV. CVII. CIX. CX. CXI. CXII. CXV. CXVII. CXVIII. CXXII. CXXIII. CXXV. CXXVI. CXXVII.

# MELEAGER.

## XXVIII.

ΚΕΙΜΑΙ. λὰξ ἐπίβαινε κατ' αὐχένος, ἄγριε Δαῖμον.
οἶδά σε, ναὶ μὰ θεοὺς, καὶ βαρὺν ὄντα φέρειν.
οἶδα καὶ ἔμπυρα τόξα. βαλὼν δ' ἐπ' ἐμὴν φρένα πυρσοὺς,
οὐ φλέξεις ἤδη· πᾶσα γάρ ἐστι τέφρη.

## LVIII.

Οὔ σοι ταῦτ' ἐβόων, ψυχὴ, ναὶ Κύπριν, ἁλώσει
ὦ δύσερως, ἰξῷ πυκνὰ προσιπταμένη;
οὐκ ἐβόων; εἷλέν σε πάγη. τί μάτην ἐνὶ δεσμοῖς
σπαίρεις; αὐτὸς Ἔρως τὰ πτερά σου δέδεκε,
καί σ' ἐπὶ πῦρ ἔστησε, μύροις δ' ἔῤῥαινε λιπόπνουν,
δῶκε δὲ διψώσῃ δάκρυα θερμὰ πιεῖν.
ἁ ψυχὴ βαρύμοχθε, σὺ δ' ἄρτι μὲν ἐκ πυρὸς αἴθῃ,
ἄρτι δ' ἀναψύχεις, πνεῦμ' ἀναλεξαμένη.
τί κλαίεις; τὸν ἄτεγκτον ὅτ' ἐν κόλποισιν Ἔρωτα
ἔτρεφες, οὐκ ᾔδεις, ὡς ἐπί σοι τρέφετο;
οὐκ ᾔδεις· νῦν γνῶθι καλῶν ἄλλαγμα τροφείων,
πῦρ ἅμα καὶ ψυχρὰν δεξαμένη χιόνα.
αὐτὴ ταῦθ' εἵλου· φέρε τὸν πόνον. ἄξια πάσχεις
ὧν ἔδρασας, ὀπτῷ καιομένη μέλιτι.

## LXI.

Εἶπε Λυκαινίδι Δορκάς· ἴδ' ὡς ἐπίτηκτα φιλοῦσα
Ἥλως, οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.
ἄγγειλον τάδε, Δορκάς· ἰδοὺ πάλι δεύτερον αὐτῇ
καὶ τρίτον ἄγγειλον Δορκὰς ἅπαντα· τρέχε.
μηκέτι μέλλε, πέτου—βραχύ μοι, βραχὺ Δορκὰς ἐπίσχες.
Δορκὰς, ποῖ σπεύδεις, πρίν σε τὰ πάντα μαθεῖν;

πρόσθες δ' οἷς εἴρηκα πάλαι—μᾶλλον δ' ἔτι ληρῶ.
μηδὲν ὅλως εἴπῃς—ἀλλ' ἴθι πάντα λέγε·
μὴ φείδου σὺ τὰ πάντα λέγειν—καίτοι τί σε Δορκὰς
ἐκπέμπω; σύν σοι καὐτὸς, ἰδοὺ, προάγω.

## LXVII.

Κῦμα τὸ πικρὸν Ἔρωτος, ἀκοίμητοί τε πνέοντες
Ζῆλοι, καὶ κώμων χειμέριον πέλαγος,
ποῖ φέρομαι; πάντῃ δὲ φρενῶν οἴακες ἀφεῖνται.
ἦ πάλι τὴν τρυφερὴν Σκύλλαν ἐποψόμεθα;

## LXXIII.

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
ἀστραγάλοις, τοὐμὸν πνεῦμ' ἐκύβευσεν Ἔρως.

## LXXIX.

Ἔσπευδον τὸν Ἔρωτα φυγεῖν. ὁ δὲ βαιὸν ἀνάψας
φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσὰ,
κνίσμα πυρὸς θραύσας, εἷς με λαθὼν ἔβαλεν.
ἐκ δὲ φλογὸς πάντῃ μοι ἐπέδραμεν. ὦ βαρὺ φέγγος
λάμψαν ἐμοί. μέγα πῦρ Φανίον ἐν κραδίῃ.

## LXXX.

Εὔφορτοι νᾶες πελαγίτιδες, αἳ πόρον Ἕλλης
πλεῖτε, καλὸν κόλποις δεξάμεναι Βορέαν,
ἤν που ἐπ' ἠϊόνων Κῴαν κατὰ νᾶσον ἴδητε
Φανίον ἐς χαροπὸν δερκομέναν πέλαγος,
τοῦτ' ἔπος ἀγγείλασθε· Καλὴ νυὲ, σός με κομίζει
ἵμερος οὐ ναύταν, ποσσὶ δὲ πεζοπόρον.
εἰ γὰρ τοῦτ' εἴποιτ', εὖ ἐς τέλος αὐτίκα καὶ Ζεὺς
οὔριος ὑμετέρας πνεύσεται εἰς ὀθόνας.

## LXXXVI.

Ἀδυμελεῖς Μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν Πειθοῖ, καὶ Ἔρως καλὸς ὑφηνιόχῳ,

Ζηνοφίλα, σοὶ σκῆπτρα Πόθων ἀπένειμαν, ἐπεί σοι
αἱ τρισσαὶ Χάριτες τρεῖς ἔδοσαν χάριτας.

## LXXXVII.

Ἁδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις,
Ζηνοφίλα, τι λίγει', ἁδὺ κρέκεις τι μέλος.
ποῖ σε φύγω; πάντη με περιστείχουσιν Ἔρωτες,
οὐδ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
ἁ γάρ μοι μορφὰ βάλλει πόθον, ἢ πάλι μοῦσα,
ἢ χάρις, ἢ——τί λέγω; πάντα. πυρὶ φλέγομαι.

## XCI.

Κηρύσσω τὸν Ἔρωτα, τὸν ἄγριον. ἄρτι γὰρ ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκὺς, ἀθαμβὴς,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ Αἰθὴρ,
οὐ Χθών φησι τεκεῖν τὸν θρασὺν, οὐ Πέλαγος.
πάντη γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος, ἰδοὺ, περὶ φωλεόν. οὔ με λέληθας
τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

## XCII.

Ἤδη λευκὸν ἴον θάλλει, θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
ἤδη δ' ἡ φιλέραστος, ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα, Πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
ἁ γὰρ παῖς κρέσσων ἁδυπνόων στεφάνων.

## XCV.

Πωλείσθω, καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων.
πωλείσθω. τί δ' ἐμοὶ τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον· ἄκρα δ' ὄνυξι
κνίζει· καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ.

πρὸς δ' ἔτι λοιπὸν ἄτρεστον, ἀείλαλον, ὀξὺ δεδορκὸς,
ἄγριον, οὐδ' αὐτῇ μητρὶ φίλῃ τιθασόν·
πάντα τέρας. τοίγαρ πεπράσεται. εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ', ἰδοὺ, δεδακρυμένος. οὔτι σε πωλῶ,
θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

## CIV.

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας.
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

## CV.

Πλέξω λευκόϊον, πλέξω δ' ἁπαλὴν ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,
πλέξω καὶ κρόκον ἡδύν· ἐπιπλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
ὡς ἂν ἐπὶ κροτάφοις μυροβότρυος Ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

## CVII.

Φαμί ποτ' ἐν μύθοις τὰν εὔλαλον Ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς Χάριτας χάρισιν.

## CIX.

Δάκρυα σοι καὶ νέρθε διὰ χθονὸς, Ἡλιοδώρα,
δωροῦμαι, στοργᾶς λείψανον εἰς Ἀΐδαν,
δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
σπένδω νᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
αἰ αἰ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας,
ἅρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι, γᾶ παντρόφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

## CX.

Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη.
γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
λειμῶνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων.
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν,
ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται
πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες.
ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ
ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
λευκὰ πολυτρήτοιο νεόρρυτα κάλλεα κηροῦ.
πάντῃ δ' ὀρνίθων γενεὴ λιγύφωνος ἀείδει·
ἀλκυόνες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλε,
συρίζει δὲ νομεὺς, καὶ τέρπεται εὔκομα μῆλα,
καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
καὶ μέλπει πετεηνὰ, καὶ ὠδίνουσι μέλισσαι,
πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

## CXI.

Ἠχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς,
  ἀγρονόμον μέλπεις μοῦσαν ἐρημολάλος.
ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις,
  αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
ἀλλὰ, φίλος, φθέγγου τι νέον δενδρώδεσι Νύμφαις
  παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον,
ὄφρα φυγὼν τὸν Ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
  ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ.

## CXII.

Ἀκρὶς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,
ἀκρὶς, ἀρουραίη Μοῦσα, λιγυπτέρυγε,
αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινὸν,
ἐγκρούουσα φίλοις ποσσὶ λάλους πτέρυγας,
ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,
ἀκρὶ, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον.
δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω,
καὶ δροσερὰς στόματι σχιζομένας ψεκάδας

## CXV.

Τίς τάδε μοι θνητὰ περὶ θριγκοῖσιν ἀνῆψε
σκῦλα, παναισχίστην τέρψιν Ἐνυαλίου;
οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ
ἄλλοφος, οὔτε φόνῳ χρανθὲν ἄρηρε σάκος.
ἀλλ' αὔτως γανόωντα καὶ ἀστυφέλικτα σιδάρῳ,
οἷά περ οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα·
οἷς θάλαμον κοσμεῖτε γαμήλιον. ὅπλα δὲ λύθρῳ
λειβόμενα βροτέῳ σηκὸς Ἄρηος ἔχοι.

## CXVII.

Ταντάλὶ παῖ, Νιόβα, κλῦ ἐμὰν φάτιν, ἄγγελον ἄτας·
δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.
λῦε κόμας ἀνάδεσμον, ἰὼ, βαρυπενθέσι Φοίβου
γειναμένα τόξοις ἀρσενόπαιδα γόνον.
οὔ σοι παῖδες ἔτ' εἰσίν. ἀτὰρ τί τόδ' ἄλλο; τί λεύσσω;
αἶ, αἶ, πλημμύρει παρθενικαῖσι φόνος.
ἃ μὲν γὰρ ματρὸς ἐπὶ γούνασιν, ἃ δ' ἐνὶ κόλποις
κέκλιται. ἃ δ' ἐπὶ γᾶς, ἃ δ' ἐπιμαστίδιος.
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος· ἃ δ' ἐπ' ὀϊστοῖς
πτώσσει· τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁράα.
ἃ δὲ λάλον στέρξασα πάλαι στόμα νῦν ὑπὸ θάμβευς
μάτηρ σαρκοπαγὴς οἷα πέπηγε λίθος.

## CXVIII.

Ὤνθρωφ', Ἡράκλειτος ἐγὼ σοφὰ μοῦνος ἀνευρὼν,
φημὶ τάδ' ἐς πάτραν κρείσσονα καὶ σοφίης.
λὰξ γὰρ καὶ κοτέων, Ἀσία, ξένε, δύσφρονας ἄνδρας
ὑλάκτευν· λαμπρὰ θρεψαμένοισι χάρις.
οὐκ ἀπ' ἐμεῦ; μὴ τρηχύς· ἐπεὶ τάχα καὶ σύ τι πείσῃ
τρηχύτερον. πάτρης χαῖρε σὺ δ' ἐξ Ἐφέσου.

## CXXII.

Α. Εἰπὸν ἀνειρομένῳ τίς καὶ τίνος ἐσσί. Β. Φίλαυλος
Εὐκρατίδεω. Α. ποδαπὸς δ' εὔχε' ἔμεν; Β. Θριασεύς.
Α. ἔζησας δὲ τίνα στέργων βίον; Β. οὐ τὸν ἀρότρου,
οὐδὲ τὸν ἐκ νηῶν· τὸν δὲ σοφοῖς ἕταρον.
Α. γήραϊ δ', ἢ νούσῳ βίον ἔλλιπες; Β. ἤλυθον Ἀΐδαν
αὐτοθελεὶ, κείνων γευσάμενος κυλίκων.
Α. ἦ πρέσβυς; Β. καὶ κάρτα. Α. λάβοι νύ σε βῶλος ἐλαφρὴ
σύμφωνον πινυτῷ σχόντα λόγῳ βίοτον.

## CXXIII.

Εἰς τὸν τάφον Ἀντιπάτρου Σιδωνίου ποιητοῦ, ἐφ' ᾧ σύνθημα ἦν ἀλέκτωρ, καὶ φοίνικος κλάδος, καὶ ἀστράγαλος.

Ἁ στάλα, σύνθημα τί σοι γοργωπὸς ἀλέκτωρ
ἕστα, καλλαΐνᾳ σκαπτοφόρος πτέρυγι;
ποσσὶν ὑφαρπάζων Νίκας κλάδον· ἄκρα δ' ἐπ' αὐτᾶς
βαθμίδος προπεσὼν κέκλιται ἀστράγαλος;
ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
πρὸς δὲ, τί λιτὸς ὁ τύμβος; ἐπιπρέπει ἀνδρὶ πενιχρῷ
ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
οὐ δοκέω· σκᾶπτρον γὰρ ἀναίνεται. ἀλλὰ σὺ κεύθεις
ἀθλοφόρον, νίκαν ποσσὶν ἀειράμενον.
οὐ ψαύω καὶ τῇδε· τί γὰρ ταχὺς εἴκελος ἀνὴρ
ἀστραγάλῳ; νῦν δὴ τὠτρεκὲς ἐφρασάμαν.
φοίνιξ οὐ νίκαν ἐνέπει, πάτραν δὲ, μεγαυχῆ
ματέρα Φοινίκων, τὰν πολύπαιδα Τύρον·

ὄρνις δ', ὅττι γεγωνὸς ἀνὴρ, καί που περὶ Κύπριν
 πρᾶτος, κὴν Μούσαις ποικίλος ὑμνοθέτας.
σκᾶπτρα δ' ἔχει σύνθημα λόγου· θνάσκειν δὲ πεσόντα
 οἰνοβρεχῆ, προπετὴς ἐννέπει ἀστράγαλος.
καὶ δὴ σύμβολα ταῦτα. τὸ δ' οὔνομα πέτρος ἀείδει,
 Ἀντίπατρον, προγόνων φύντ' ἀπ' ἐρισθενέων.

## CXXV.

Οὐ γάμον, ἀλλ' Ἀΐδαν ἐπινυμφίδιον Κλεαρίστα
 δέξατο, παρθενίας ἅμματα λυομένα.
ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν
 λωτοὶ, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
ἠῷος δ' ὀλολυγμὸς ἀνέκραγεν, ἐν δ' Ὑμέναιος
 σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο.
αἱ δ' αὐταὶ καὶ φέγγος ἐδαδούχουν παρὰ παστῷ
 πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

## CXXVI.

Ἀτρέμας, ὦ ξένε, βαῖνε· παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
 εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα
 καὶ Μούσας ἱλαραῖς συστολίσας Χάρισιν.

## CXXVII.

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος· πάτρα δ' ἐμὲ τεκνοῖ
 Ἀτθὶς ἐν Ἀσσυρίοις ναιομένα Γαδάροις.
Εὐκράτεω δ' ἔβλαστον ὁ σὺν Μούσαις Μελέαγρος,
 πρῶτα Μενιππείαις συντροχάσας χάρισιν.
εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν, ξένε, πατρίδα, κόσμον
 ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε Χάος.
πουλυετὴς δ' ἐχάραξα τάδ' ἐν δέλτοισι πρὸ τύμβου·
 γήρως γὰρ γείτων, κἀγγύθεν Ἀΐδεω.
ἀλλά με τὸν λάλιον καὶ πρεσβύτην σὺ προσειπὼν
 χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.

# DIONYSIUS PERIEGETES.

FLOR. FORTE IMP. AUGUSTO.

## ITALIA ET GRÆCIA.

# DIONYSIUS PERIEGETES.

## V. 339.

ΜΕΣΣΗ δ' ἀμφοτέρων παραπέπταται Αὐσονὶς αἶα
πουλυτενής· τὴν μέν τε μέσην ὄρος ἄνδιχα τέμνει
ὀρθὸν, ἅτ' ἐκ στάθμης ἰθυμμένον, οὐκ ἂν ἐκεῖνο
ἴδρις μωμήσαιτο σοφῆς ὑποεργὸς Ἀθήνης,
ὅ ῥά τε κικλήσκουσιν Ἀπέννιον· ἐκ δὲ βορείης
Ἄλπιος ἀρχόμενον Σικελὴν ἐπὶ πορθμίδα λήγει.
πολλὰ δέ οἱ φῦλ' ἀμφί· τά τοι ῥέα πάντ' ἀγορεύσω,
ἀρξάμενος πλευρῆς ζεφυρίτιδος ἐκ βορέαο.
Τυῤῥηνοὶ μὲν πρῶτ', ἐπὶ δέ σφισι φῦλα Πελασγῶν,
οἵ ποτε Κυλλήνηθεν ἐφ' ἑσπερίην ἅλα βάντες,
αὐτόθι νήσαντο σὺν ἀνδράσι Τυῤῥηνοῖσι.
τοῖς δ' ἔπι μέρμερον ἔθνος ἀγαυῶν ἐστι Λατίνων,
γαῖαν ναιετάοντες ἐπήρατον, ἧς διὰ μέσσης
Θύμβρις ἑλισσόμενος καθαρὸν ῥόον εἰς ἅλα βάλλει,
Θύμβρις ἐϋῤῥείτης, ποταμῶν βασιλεύτατος ἄλλων,
Θύμβρις, ὃς ἱμερτὴν ἀποτέμνεται ἄνδιχα Ῥώμην,
Ῥώμην τιμήεσσαν, ἐμῶν μέγαν οἶκον ἀνάκτων,
μητέρα πασάων πολίων, ἀφνειὸν ἔδεθλον.
τῇ δ' ἔπι Καμπανῶν λιπαρὸν πέδον· ἧχι μέλαθρον
ἁγνῆς Παρθενόπης, σταχύων βεβριθὸς ἀμάλλης·
Παρθενόπης, ἣν πόντος ἑοῖς ὑπεδέξατο κόλποις.
πρὸς δὲ νότον, μάλα πολλὸν ὑπὲρ Σειρηνίδα πέτρην,
φαίνονται προχοαὶ Πευκεντίνου Σιλάροιο.
ἄγχι δὲ Λευκανοὶ καὶ Βρέντιοι ἄνδρες ἔασι,
τοσσάτιον ναίοντες, ὅσον Λευκὴν ἐπὶ πέτρην.
κεῖθεν δ' ἐς βορέην Ζεφύρου παραφαίνεται ἄκρη.
τῇ δ' ὕπο Λοκροὶ ἔασιν, ὅσοι προτέροις ἐτέεσσιν
ἦλθον ἐπ' Αὐσονίην·
τῶν καὶ νῦν γένος ἐστὶν ἐπὶ προχοῇσιν Ἄληκος.

τοὺς δὲ μεθ' ἑξείης Μεταπόντιοι. ἐγγύθι δὲ σφῶν
ἱμερτὸν πτολίεθρον ἐϋστεφάνοιο Κρότωνος,
ναιόμενον χαρίεντος ἐπ' Αἰσάρου προχοῇσιν·
ἔνθά κεν αἰπὺν ἴδοιο Λακινιάδος δόμον Ἥρης.
ἔστι δέ τοι κἀκεῖθι Διὸς μέγα χωσαμένοιο
δειλαίη Σύβαρις, ναέτας στενάχουσα πεσόντας,
μηναμένους ὑπὲρ αἶσαν ἐπ' Ἀλφειοῦ γεράεσσι.
Σαυνῖται δ' ἐπὶ τοῖσι μέσην χθόνα ναιετάουσι
καὶ Μαρσῶν θοὰ φῦλα. Τάρας δ' ἁλὸς ἐγγύθι κεῖται,
ἥν ποτ' Ἀμυκλαίων ἐπολίσσατο καρτερὸς Ἄρης.
ἑξείης δ' ἐπὶ τοῖσι Καλαβρίδος ἤθεα γαίης,
φῦλά τ' Ἰηπυγίων τετανυσμένα μέσφ' Ὑρίοιο
παῤῥαλίας· Ὑρίου, τόθι σύρεται Ἀδριὰς ἅλμη
πόντον ἐς ἀγχίπορον Ἀκυλήϊον· ἔνθα νένασται
ἄστυ Τεγεστραίων, μυχάτοις ἐπὶ πείρασι πόντου.
Τόσσα μὲν Αὐσονίην περιβόσκεται ἔθνεα γαῖαν.
κεῖθεν δ' εἰς αὐγὰς στρεπτὴ παρασύρεται ἅλμη,
θῖνας ὑποξύουσα Λιβυρνίδας, ἀμφί τ' ἐρυμνὴν
Ὑλλείων χθόνα πᾶσαν ὅση παρακέκλιται ἰσθμῷ,
Βουλιμέων τ' ἀκτάς. ἐπὶ δ' ἄσπετον ὁλκὸν ἄγουσα
Ἰλλυρικὴν περὶ χέρσον ἑλίσσεται ἄχρι κολώνης,
οὐρέων τ' ἠλιβάτων, τὰ Κεραύνια κικλήσκουσι.
κεῖνον δ' ἂν περὶ κόλπον ἴδοις ἐρικυδέα τύμβον,
τύμβον ὃν Ἁρμονίης Κάδμοιό τε φῆμις ἐνίσπει.
κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν γένος ἠλλάξαντο,
ὁππότ' ἀπ' Ἰσμηνοῦ λιπαρὸν μετὰ γῆρας ἵκοντο.
ἔνθά σφιν τέρας ἄλλο θεοὶ θέσαν· ἀμφὶ γὰρ αἶαν
κείνην ἀμφοτέρωθεν ἐρηρέδαται δύο πέτραι,
αἵ τ' ἄμφω συνίασι δονεύμεναι, εὖτέ τις ἀρχὴ
γίγνεται ἐνναέτῃσι κυλινδομένοιο κακοῖο.
Πρὸς δὲ νότον, μάλα πολλὸν ὑπὲρ Θρήκην ἐρίβωλον,
Ὠρικίην θ' ὑπὲρ αἶαν, ἐρείδεται Ἑλλάδος ἀρχὴ,
πολλὸν ἀνερχομένη, δισσῇ ζωσθεῖσα θαλάσσῃ,
Αἰγαίῃ, Σικελῇ τ'. ἄνεμον δέ τοι ἔλλαχ' ἑκάστη·
ἑσπέριον Σικελὴ, τόν τε ζέφυρον καλέουσιν,
Αἰγαίη δ' εὖρον. Πέλοπος δ' ἐπὶ νῆσος ὀπηδεῖ,

εἰδομένη πλατάνοιο μυουρίζοντι πετήλῳ.
ἄκρῳ μὲν γὰρ ἔοικεν ἐεργόμενος στενὸς ἰσθμὸς
πρὸς βορέην, καὶ κοινὸν ἐφ' Ἑλλάδος ἴχνος ἐρείδων·
φύλλῳ δ' ἤπειρος περιδινήτῳ περίμετρος,
κόλποις εἰναλίοις ἐστεμμένη ἔνθα καὶ ἔνθα.
τῆς πρὸς μὲν ζεφύροιο Τριφυλλίδος ἤθεα γαίης,
ἔνθ' ἐρατεινότατος ποταμῶν Ἀλφειὸς ὁδεύει,
σχιζόμενος προχοῇσι Μεσηνίου Εὐρώταο·
οἵτ' ἄμφω Ἀσέηθεν ἀναβλύζουσι ῥέεθρα,
καὶ ὁ μὲν Ἠλείων, ὁ δ' Ἀμυκλαίων χθόνα τέμνει
καδδὲ μέσην νῆσον, κοίλην χθόνα ναιετάουσιν
Ἀρκάδες Ἀπιδανῆες ὑπὸ σκοπιὴν Ἐρυμάνθου·
ἔνθα Μέλας, ὅθι Κρᾶθις, ἵνα ῥέει ὑγρὸς Ἰάων,
ἧχι καὶ ὠγύγιος μηκύνεται ὕδασι Λάδων.
ἀγχοῦ δ' Ἀργείων ἄροσις, καὶ γαῖα Λακώνων·
ἡ μὲν ἐς ἀντολίην, ἡ δ' ἐς νότον εἰσορόωσα.
δοιαὶ δ' ἴσθμια νῶτα περιβρομέουσι θάλασσαι·
ἥ τ' Ἐφύρης ἀντικρὺ ποτὶ ζόφον, ἥ τε πρὸς αὐγὰς
ἑλκομένη, τὴν μέν τε Σαρωνίδα κικλήσκουσι.
νέρθε γε μὴν ἰσθμοῖο πρὸς αὐγὰς Ἀττικὸν οὖδας,
τοῦ διὰ θεσπεσίου φέρεται ῥόος Ἰλισσοῖο,
ἔνθεν καὶ Βορέης ποτ' ἀνήρπασεν Ὠρείθυιαν.
τῷ δ' ἔπι Βοιωτῶν τε πέδον, καὶ Λοκρὶς ἄρουρα·
Θεσσαλίη δ' ἐπὶ τοῖσι, Μακηδονίης τε πόληες.
ταῖς δ' ἔπι φαίνονται κορυφαὶ χιονώδεος Αἵμου
Θρηϊκίου· τοῦ δ' ἄντα ποτὶ ῥιπὴν ζεφύροιο
Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται.
τῆς δ' ὕπερ ἐς νότον εἰσὶν ὑπὸ σκοπιὴν Ἀρακύνθου
ἀνδρῶν Αἰτωλῶν πεδίον μέγα. τοῦ διὰ μέσσου
σύρεται ὁλκὸν ἄγων Ἀχελώϊος ἀργυροδίνης,
Τρινακίης ἐπὶ πόντον ἑλισσόμενος, διὰ μέσσων
νήσων ἃς καλέουσιν Ἐχινάδας, ᾗσιν ὁμούρων
ἕσπεται ἄλλυδις ἄλλα Κεφαλλήνων πτολίεθρα.
τῷ δ' ἔπι Φωκὶς ἄρουρα, πρὸς ἀντολίην τε καὶ ἠῶ,
ἑλκομένη βορέηνδε κατὰ στόμα Θερμοπυλάων,
Παρνησσοῦ νιφόεντος ὑπὸ πτυχί· τῆς διὰ μέσσης

Κηφισσοῦ μέγα χεῦμα κατερχόμενον κελαρύζει.
τῷ πάρα Πυθῶνος θυόεν πέδον, ἦχι δράκοντος
Δελφύνης τριπόδεσσι θεοῦ παρακέκλιται ὁλκὸς,
ὁλκὸς, ἀπειρεσίῃσιν ἐπιφρίσσων φολίδεσσι,
νηῷ ἐν ἱμερτῷ· ὅθι πολλάκις αὐτὸς Ἀπόλλων,
ἢ ἀπὸ Μιλήτου ἢ ἐκ Κλάρου ἄρτι βεβηκὼς,
ἱστάμενος χρυσέης ἀναλύεται ἅμμα φαρέτρης.

# OPPIANUS.

## CILIX.

FLOR. IMP. ANTONINO. CIRCA CL. ANN. S.

HALIEUTICA. LIB. I. II.

# OPPIANUS.

## CILIX.

### HALIEUTICA. LIB. I. v. 1.

ΕΘΝΕΑ τοι πόντοιο, πολυσπερέας τε φάλαγγας
παντοίων νεπόδων, πλωτὸν γένος Ἀμφιτρίτης,
ἐξερέω, γαίης ὕπατον κράτος, Ἀντωνῖνε·
ὅσσα τε κυματόεσσαν ἔχει χύσιν, ἧχί θ' ἕκαστα
ἐννέμεται, διερούς τε γάμους, διεράς τε γενέθλας,
καὶ βίον ἰχθυόεντα, καὶ ἔχθεα, καὶ φιλότητας,
καὶ βουλὰς, ἁλίης τε πολύτροπα δήνεα τέχνης
κερδαλέης, ὅσα φῶτες ἐπ' ἰχθύσι μητίσαντο
ἀφράστοις, ἀΐδηλον ἐπιπλώουσι θάλασσαν
τολμηρῇ κραδίῃ, κατὰ δ' ἔδρακον οὐκ ἐπίοπτα
βένθεα, καὶ τέχνῃσιν ἁλὸς διὰ μέτρα δάσαντο
δαιμόνιοι. χλούνην μὲν ὀρίτροφον ἠδὲ καὶ ἄρκτον
θηρητὴρ ὁράα τε, καὶ ἀντιόωντα δοκεύει
ἀμφαδίην, ἑκαθέν τε βαλεῖν, σχεδόθεν τε δαμάσσαι·
ἄμφω δ' ἀσφαλέως γαίης ἔπι θήρ τε καὶ ἀνὴρ
μάρνανται, σκύλακες δὲ συνέμποροι ἡγεμονῆες
κνώδαλα σημαίνουσι, καὶ ἰθύνουσιν ἄνακτας
εὐνὴν εἰς αὐτὴν, καὶ ἀρηγόνες ἐγγὺς ἕπονται·
οὐδ' ἄρα τοῖς οὐ χεῖμα τόσον δέος, οὐ μὲν ὀπώρη
φλέγμα φέρει· πολλαὶ γὰρ ἐπακτήρων ἀλεωραὶ,
λόχμαι τε σκιεραὶ, καὶ δειράδες, ἄντρα τε πέτρης
αὐτορόφου, πολλοὶ δὲ τιταινόμενοι κατ' ὄρεσφιν
ἀργύρεοι ποταμοὶ, δίψης ἄκος, ἠδὲ λοετρῶν
ἀέναοι ταμίαι· παρὰ δὲ χλοάουσι ῥεέθροις
ποῖαί τε χθαμαλαὶ, μαλακὴ κλίσις ὕπνον ἑλέσθαι
εὔδιον ἐκ καμάτοιο, καὶ ὥρια δόρπα πάσασθαι
ὕλης ἀγρονόμοιο, τά τ' οὔρεσι πολλὰ φύονται.

τερπωλὴ δ' ἕπεται θήρῃ πλέον, ἤέπερ ἱδρώς.
ὅσσοι δ' οἰωνοῖσιν ἐφοπλίζονται ὄλεθρον,
ῥηϊδίη καὶ τοῖσι πέλει καὶ ἐπόψιος ἄγρη.
τοὺς μὲν γὰρ κνώσσοντας ἐληΐσσαντο καλιῆς
κρύβδην· τοὺς δὲ δόναξιν ἐπέσπασαν ἰξοφόροισιν·
οἱ δὲ τανυπλέκτοισιν ἐν ἕρκεσιν ἤριπον αὐτοὶ
εὐνῆς χρηΐζοντες, ἀτερπέα δ' αὖλιν ἔκυρσαν.
τλησιπόνοις δ' ἁλιεῦσιν ἀτέκμαρτοι μὲν ἄεθλοι,
ἐλπὶς δ' οὐ σταθερὴ σαίνει φρένας, ἠΰτ' ὄνειρος.
οὐ γὰρ ἀκινήτου γαίης ὕπερ ἀθλεύουσιν,
ἀλλ' αἰεὶ κρυερῷ τε καὶ ἄσχετα μαργαίνοντι
ὕδατι συμφορέονται, ὃ καὶ γαίηθεν ἰδέσθαι
δεῖμα φέρει, καὶ μοῦνον ἐν ὄμμασι πειρήσασθαι·
δούρασι δ' ἐν βαιοῖσιν ἀελλάων θεράποντες
πλαζόμενοι, καὶ θυμὸν ἐν οἴδμασιν αἰὲν ἔχοντες,
αἰεὶ μὲν νεφέλην ἰοειδέα παπταίνουσιν,
αἰεὶ δὲ τρομέουσι μελαινόμενον πόρον ἅλμης.
οὐδέ τι φοιταλέων ἀνέμων σκέπας, οὐδέ τιν' ὄμβρων
ἀλκὴν, οὐ πυρὸς ἄλκαρ ὀπωρινοῖο φέρονται.
πρὸς δ' ἔτι καὶ βλοσυρῆς δυσδερκέα δείματα λίμνης
κήτεα πεφρίκασι, τά τε σφίσιν ἀντιόωσιν,
εὖτ' ἂν ὑποβρυχίης ἄδυτον περόωσι θαλάσσης.
οὐ μέν τις σκυλάκων ἁλίην ὁδὸν ἡγεμονεύει
ἰχθυβόλοις· ἴχνη γὰρ ἀείδελα νηχομένοισιν.
οὐδ' οἵγ' εἰσορόωσιν ὅπῃ σχεδὸν ἵξεται ἄγρης
ἀντιάσας, οὐ γάρ τι μίην ὁδὸν ἔρχεται ἰχθύς.
θριξὶ δ' ἐν ἠπεδανοῖσι, παλιγνάμπτοιό τε χαλκοῦ
χείλεσι, καὶ δονάκεσσι, λίνοισί τε κάρτος ἔχουσιν.
Οὐ μὲν τερπωλῆς ἀπολείπεαι, αἴκ' ἐθέλῃσθα
τέρπεσθαι, γλυκερὴ δὲ πέλει βασιλήϊος ἄγρη.
νῆα μὲν εὐγόμφωτον εὔζυγον, ἔξοχα κούφην,
αἰζηοὶ κώπῃσιν ἐπειγομένης ἐλόωσι,
νῶτον ἁλὸς θείνοντες· ὁ δ' ἐν πρύμνῃσιν ἄριστος
ἰθυντὴρ ἁλίαστον ἄγει καὶ ἀμεμφέα νῆα
χῶρον ἐς εὐρύαλόν τε καὶ εὔδια πορφύροντα.
ἔνθα δὲ δαιτυμόνων νεπόδων ἀπερείσια φῦλα

φέρβεται, οὓς θεράποντες ἀεὶ κομέουσιν, ἐδωδῇ
πολλῇ πιαίνοντες, ἑτοιμότατον χορὸν ἄγρης,
σοί τε, μάκαρ, καὶ παιδὶ μεγαυχέϊ, πώεα θήρης.
αὐτίκα γὰρ χειρὸς μὲν εὔπλοκον εἰς ἅλα πέμπεις
ὁρμιὴν, ὁ δὲ ῥίμφα γένυν κατεδέξατο χαλκοῦ
ἰχθὺς ἀντιάσας, τάχα δ' ἕλκεται ἐκ βασιλῆος
οὐκ ἀέκων, σέο δ' ἦτορ ἰαίνεται, ὄρχαμε γαίης·
πολλὴ γὰρ βλεφάροισι καὶ ἐν φρεσὶ τέρψις ἰδέσθαι
παλλόμενον καὶ ἑλισσόμενον πεπεδημένον ἰχθύν.
Ἀλλά μοι ἱλήκοις μὲν ἁλὸς πόρῳ ἐμβασιλεύων
εὐρυμέδων Κρονίδης γαιήοχος, ἠδὲ θάλασσα
αὐτὴ, καὶ ναετῆρες ἐριγδούποιο θαλάσσης
δαίμονες, ὑμετέρας τ' ἀγέλας καὶ ἁλίτροφα φῦλα
εἰπέμεν αἰνήσαιτε· σὺ δ' ἰθύνειας ἕκαστα,
πότνα θεὰ, καὶ πατρὶ καὶ υἱέϊ παμβασιλῆος
θυμήρη τάδε δῶρα τεῆς πόρσυνον ἀοιδῆς.
Μυρία μὲν δὴ φῦλα καὶ ἄκριτα βένθεσι πόντου
ἐμφέρεται πλώοντα· τὰ δ' οὔ κέ τις ἐξονομῆναι
ἀτρεκέως. οὐ γάρ τις ἐφίκετο τέρμα θαλάσσης,
ἀλλὰ τριηκοσίων ὀργυιῶν ἄχρι μάλιστα
ἀνέρες ἴσασίν τε καὶ ἔδρακον ἀμφιτρίτην·
πολλὰ δ'· ἀπειρεσίη γὰρ ἀμετροβαθής τε θάλασσα·
κέκρυπται, τά κεν οὔτις ἀείδελα μυθήσαιτο
θνητὸς ἐών· ὀλίγος δὲ νόος μερόπεσσι καὶ ἀλκή.
οὐ μὲν γὰρ γαίης πολυμήτορος ἔλπομαι ἅλμην
παυροτέρας ἀγέλας, οὔτ' ἔθνεα μείονα φέρβειν.
ἀλλ' εἴτ' ἀμφήριστος ἐν ἀμφοτέρῃσι γενέθλη,
εἴθ' ἑτέρη προβέβηκε, θεοὶ σάφα τεκμαίρονται·
ἡμεῖς δ' ἀνδρομέοισι νοήμασι μέτρα φέροιμεν.
Ἰχθύσιν ἂρ γενεή τε, καὶ ἤθεα, καὶ πόρος ἅλμης
κέκριται, οὐδέ τι πᾶσι νομαὶ νεπόδεσσιν ὁμοῖαι.
Οἱ μὲν γὰρ χθαμαλοῖσι παρ' αἰγιαλοῖσι νέμονται,
ψάμμον ἐρεπτόμενοι, καὶ ὅσ' ἐν ψαμάθοισι φύονται,
ἵπποι, κόκκυγές τε θοοὶ, ξανθοί τ' ἐρυθῖνοι.
Ἄλλοι δ' αὖ πηλοῖσι καὶ ἐν τενάγεσσι θαλάσσης
φέρβονται, βατίδες τε, βοῶν θ' ὑπέροπλα γένεθλα,

τρυγών τ' ἀργαλέη, καὶ ἐτήτυμον οὔνομα, νάρκη.
Κεστρέες αὖ, κέφαλοί τε, δικαιότατον γένος ἅλμης,
λάβρακές τ', ἀμίαι τε θρασύφρονες, ἠδὲ χρέμητες,
πηλαμύδες, γόγγροι τε, καὶ ὃν καλέουσιν ὄλισθον,
γείτονα ναιετάουσιν ἀεὶ ποταμοῖσι θάλασσαν,
ἢ λίμναις, ὅθι λαρὸν ὕδωρ μεταπαύεται ἅλμης,
πολλή τε πρόχυσις συμβάλλεται ἰλυόεσσα,
ἑλκομένη δίνῃσιν ἀπὸ χθόνος, ἔνθα νέμονται
φορβὴν ἱμερτὴν, γλυκερῇ θ' ἁλὶ πιαίνονται.
λάβραξ δ' οὔτ' αὐτῶν ποταμῶν ἀπολείπεται ἔξω,
ἐκ δ' ἁλὸς ἐς προχοὰς ἀνανήχεται· ἐγχέλυες δὲ
ἐκ ποταμῶν πλαταμῶσιν ἐνιχρίμπτουσι θαλάσσης.
Πέτραι δ' ἀμφίαλοι πολυειδέες. αἱ μὲν ἔασι
φύκεσι μυδαλέαι, περὶ δὲ μνία πολλὰ πέφυκε.
Καὶ μὲν δὴ πελάγεσσιν ὁμῶς ἐχενηῒς ἑταίρη,
ἣ δή τοι ταναὴ μὲν ἰδεῖν, μῆκος δ' ἰσόπηχυς,
χροιῇ δ' αἰθαλόεσσα, φυὴ δέ οἱ ἐγχελύεσσιν
εἴδεται, ὀξὺ δέ οἱ κεφαλῆς στόμα νέρθε νένευκε
καμπύλον, ἀγκίστρου περιηγέος εἴκελον αἰχμῇ.
θαῦμα δ' ὀλισθηρῆς ἐχενηΐδος ἐφράσσαντο
ναυτίλοι· οὐ μὲν δή τις ἐνὶ φρεσὶ πιστώσαιτο
εἰσαΐων· αἰεὶ γὰρ ἀπειρήτων νόος ἀνδρῶν
δύσμαχος, οὐδ' ἐθέλουσι καὶ ἀτρεκέεσσι πιθέσθαι.
νῆα τιταινομένην ἀνέμου ζαχρηέος ὁρμῇ,
λαίφεσι πεπταμένοισιν ἁλὸς διὰ μέτρα θέουσαν
ἰχθὺς ἀμφιχανὼν ὀλίγον στόμα νέρθεν ἐρύκει
πᾶσαν ὑποτρόπιος βεβιημένος, οὐδ' ἔτι τέμνει
κῦμα καὶ ἱεμένη, κατὰ δ' ἔμπεδον ἐστήρικται,
ἠΰτ' ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι.
καὶ τῆς μὲν λίνα πάντα περὶ προτόνοισι μέμυκε,
ῥοχθεῦσιν δὲ κάλωες, ἐπιμύει δὲ κεραίη
ῥιπῇ ἐπειγομένη, πρύμνῃ δ' ἔπι πάντα χαλινὰ
ἰθυντὴρ ἀνίησιν, ἐπισπέρχων ὁδὸν ἅλμης·
ἡ δ' οὔτ' οἰήκων ἐμπάζεται, οὔτ' ἀνέμοισι
πείθεται, οὐ ῥοθίοισιν ἐλαύνεται, ἀλλὰ παγεῖσα
μίμνει τ' οὐκ ἐθέλουσα, καὶ ἐσσυμένη πεπέδηται,

ἰχθύος οὐτιδανοῖο κατὰ στόμα ῥιζωθεῖσα.
ναῦται δὲ τρομέουσιν, ἀείδελα δεσμὰ θαλάσσης
δερκόμενοι, καὶ θάμβος ἴσον λεύσσοντες ὀνείρῳ.
ὡς δ' ὅτ' ἐνὶ ξυλόχοισιν ἀνὴρ λαιψηρὰ θέουσαν
θηρητὴρ ἔλαφον δεδοκημένος, ἄκρον ὀϊστῷ
κῶλον ὑπὸ πτερόεντι βαλὼν ἐπέδησεν ἐρωῆς,
ἡ δὲ καὶ ἐσσυμένη περ ἀναγκαίης ὀδύνῃσιν
ἀμφιπαγεῖσ' ἀέκουσα μένει θρασὺν ἀγρευτῆρα·
τοίην νηῒ πέδην περιβάλλεται αἰόλος ἰχθὺς
ἀντιάσας, τοίην δὲ φερωνυμίην λάχεν ἔργων.

Δελφῖνες δ' ἀκταῖς τε πολυῤῥαθάγοισι γάνυνται,
καὶ πελάγη ναίουσι, καὶ οὔ ποτε νόσφι θάλασσα
δελφίνων. πέρι γάρ σφε Ποσειδάων ἀγαπάζει,
οὕνεκά οἱ κούρην κυανώπιδα Νηρηΐνην
μαιομένῳ, φεύγουσαν ἑὸν λέχος, Ἀμφιτρίτην,
φρασσάμενοι δελφῖνες ἐν Ὠκεανοῖο δόμοισι
κευθομένην, ἤγγειλαν· ὁ δ' αὐτίκα κυανοχαίτης
παρθένον ἐξήρπαξεν, ἀναινομένην τε δάμασσε.
καὶ τὴν μὲν παράκοιτιν, ἄλος βασίλειαν, ἔθηκε·
ἀγγελίης δ' ἤνησεν ἐνηέας οὓς θεράποντας,
κλήρῳ δ' ἐν σφετέρῳ περιώσιον ὤπασε τιμήν.

Ἔστι δ' ἀμειλίκτοις ἐνὶ κήτεσιν, ὅσσα καὶ ἅλμης
ἐκτὸς ἐπὶ τραφερῆς φυσίζοον ἔρχεται οὖδας.
δηρὸν δ' ἠϊόνεσσι καὶ ἀγχιάλοισιν ἀρούραις
μίσγοντ' ἐγχέλυές τε, καὶ ἀσπιδόεσσα χελώνη,
καστορίδες τ' ὀλοαὶ δυσπενθέες, αἵ τ' ἀλεγεινὴν
ὄσσαν ἐπὶ κροκάλῃσιν ἀπαίσιον ὠρύονται
ἀνδράσιν· ὃς δέ κε γῆρυν ἐν οὔασιν ἀλγινόεσσαν
δέξηται, στυγερῆς τ' ἐνοπῆς κωκυτὸν ἀκούσῃ,
οὐ τηλοῦ θανάτοιο τάχ' ἔσσεται, ἀλλά οἱ ἄτην
καὶ μόρον αἰνοτάτη κείνη μαντεύεται αὐδή.
ναὶ μὴν καὶ φάλαιναν ἀναιδέα φασὶ θαλάσσης
ἐκβαίνειν χέρσονδε, καὶ ἠελίοιο θέρεσθαι.
φῶκαι δ' ἐννύχιαι μὲν ἀεὶ λείπουσι θάλασσαν,
πολλάκι δ' ἠμάτιαι πέτραις ἐνὶ καὶ ψαμάθοισιν
εὔκηλοι μίμνουσι, καὶ ἔξαλον ὕπνον ἔχουσι.

τρυγὼν τ᾽ ἀργαλέη, καὶ ἐτήτυμον οὔνομα, νάρκη.
Κεστρέες αὖ, κέφαλοί τε, δικαιότατον γένος ἅλμης,
λάβρακές τ᾽, ἀμίαι τε θρασύφρονες, ἠδὲ χρέμητες,
πηλαμύδες, γόγγροι τε, καὶ ὃν καλέουσιν ὄλισθον,
γείτονα ναιετάουσιν ἀεὶ ποταμοῖσι θάλασσαν,
ἢ λίμναις· ὅθι λαρὸν ὕδωρ μεταπαύεται ἅλμης,
πολλή τε πρόχυσις συμβάλλεται ἰλυόεσσα,
ἑλκομένη δίνῃσιν ἀπὸ χθόνος, ἔνθα νέμονται
φορβὴν ἱμερτὴν, γλυκερῇ θ᾽ ἁλὶ πιαίνονται.
λάβραξ δ᾽ οὔτ᾽ αὐτῶν ποταμῶν ἀπολείπεται ἔξω,
ἐκ δ᾽ ἁλὸς ἐς προχοὰς ἀνανήχεται· ἐγχέλυες δὲ
ἐκ ποταμῶν πλαταμῶσιν ἐνιχρίμπτουσι θαλάσσης.
Πέτραι δ᾽ ἀμφίαλοι πολυειδέες. αἱ μὲν ἔασι
φύκεσι μυδαλέαι, περὶ δὲ μνία πολλὰ πέφυκε.
Καὶ μὲν δὴ πελάγεσσιν ὁμῶς ἐχενηῒς ἑταίρη,
ἡ δή τοι ταναὴ μὲν ἰδεῖν, μῆκος δ᾽ ἰσόπηχυς,
χροιῇ δ᾽ αἰθαλόεσσα, φυὴ δέ οἱ ἐγχελύεσσιν
εἴδεται, ὀξὺ δέ οἱ κεφαλῆς στόμα νέρθε νένευκε
καμπύλον, ἀγκίστρου περιηγέος εἴκελον αἰχμῇ.
θαῦμα δ᾽ ὀλισθηρῆς ἐχενηΐδος ἐφράσσαντο
ναυτίλοι· οὐ μὲν δή τις ἐνὶ φρεσὶ πιστώσαιτο
εἰσαΐων· αἰεὶ γὰρ ἀπειρήτων νόος ἀνδρῶν
δύσμαχος, οὐδ᾽ ἐθέλουσι καὶ ἀτρεκέεσσι πιθέσθαι.
νῆα τιταινομένην ἀνέμου ζαχρηέος ὁρμῇ,
λαίφεσι πεπταμένοισιν ἁλὸς διὰ μέτρα θέουσαν
ἰχθὺς ἀμφιχανὼν ὀλίγον στόμα νέρθεν ἐρύκει
πᾶσαν ὑποτρόπιος βεβιημένος, οὐδ᾽ ἔτι τέμνει
κῦμα καὶ ἱεμένη, κατὰ δ᾽ ἔμπεδον ἐστήρικται,
ἠΰτ᾽ ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι.
καὶ τῆς μὲν λίνα πάντα περὶ προτόνοισι μέμυκε,
ῥοχθεῦσιν δὲ κάλωες, ἐπιμύει δὲ κεραίη
ῥιπῇ ἐπειγομένη, πρύμνῃ δ᾽ ἔπι πάντα χαλινὰ
ἰθυντὴρ ἀνίησιν, ἐπισπέρχων ὁδὸν ἅλμης·
ἡ δ᾽ οὔτ᾽ οἰήκων ἐμπάζεται, οὔτ᾽ ἀνέμοισι
πείθεται, οὐ ῥοθίοισιν ἐλαύνεται, ἀλλὰ παγεῖσα
μίμνει τ᾽ οὐκ ἐθέλουσα, καὶ ἐσσυμένη πεπέδηται,

ἰχθύος οὐτιδανοῖο κατὰ στόμα ῥιζωθεῖσα.
ναῦται δὲ τρομέουσιν, ἀείδελα δεσμὰ θαλάσσης
δερκόμενοι, καὶ θάμβος ἴσον λεύσσοντες ὀνείρῳ.
ὡς δ' ὅτ' ἐνὶ ξυλόχοισιν ἀνὴρ λαιψηρὰ θέουσαν
θηρητὴρ ἔλαφον δεδοκημένος, ἄκρον ὀϊστῷ
κῶλον ὑπὸ πτερόεντι βαλὼν ἐπέδησεν ἐρωῆς,
ἡ δὲ καὶ ἐσσυμένη περ ἀναγκαίῃς ὀδύνῃσιν
ἀμφιπαγεῖσ' ἀέκουσα μένει θρασὺν ἀγρευτῆρα·
τοίην νηῒ πέδην περιβάλλεται αἰόλος ἰχθὺς
ἀντιάσας, τοίην δὲ φερωνυμίην λάχεν ἔργων.
Δελφῖνες δ' ἀκταῖς τε πολυῤῥαθάγοισι γάνυνται,
καὶ πελάγη ναίουσι, καὶ οὔ ποτε νόσφι θάλασσα
δελφίνων. πέρι γάρ σφε Ποσειδάων ἀγαπάζει,
οὕνεκά οἱ κούρην κυανώπιδα Νηρηΐνην
μαιομένῳ, φεύγουσαν ἑὸν λέχος, Ἀμφιτρίτην,
φρασσάμενοι δελφῖνες ἐν Ὠκεανοῖο δόμοισι
κευθομένην, ἤγγειλαν· ὁ δ' αὐτίκα κυανοχαίτης
παρθένον ἐξήρπαξεν, ἀναινομένην τε δάμασσε.
καὶ τὴν μὲν παράκοιτιν, ἁλὸς βασίλειαν, ἔθηκε·
ἀγγελίης δ' ἤνησεν ἐνηέας οὓς θεράποντας,
κλήρῳ δ' ἐν σφετέρῳ περιώσιον ὤπασε τιμήν.
Ἔστι δ' ἀμειλίκτοις ἐνὶ κήτεσιν, ὅσσα καὶ ἅλμης
ἐκτὸς ἐπὶ τραφερῆς φυσίζοον ἔρχεται οὖδας.
δηρὸν δ' ἠϊόνεσσι καὶ ἀγχιάλοισιν ἀρούραις
μίσγοντ' ἐγχέλυές τε, καὶ ἀσπιδόεσσα χελώνη,
καστορίδες τ' ὀλοαὶ δυσπενθέες, αἵ τ' ἀλεγεινὴν
ὄσσαν ἐπὶ κροκάλῃσιν ἀπαίσιον ὠρύονται
ἀνδράσιν· ὃς δέ κε γῆρυν ἐν οὔασιν ἀλγινόεσσαν
δέξηται, στυγερῆς τ' ἐνοπῆς κωκυτὸν ἀκούσῃ,
οὐ τηλοῦ θανάτοιο τάχ' ἔσσεται, ἀλλά οἱ ἄτην
καὶ μόρον αἰνοτάτη κείνη μαντεύεται αὐδή.
ναὶ μὴν καὶ φάλαιναν ἀναιδέα φασὶ θαλάσσης
ἐκβαίνειν χέρσονδε, καὶ ἠελίοιο θέρεσθαι.
φῶκαι δ' ἐννύχιαι μὲν ἀεὶ λείπουσι θάλασσαν,
πολλάκι δ' ἠμάτιαι πέτραις ἐνὶ καὶ ψαμάθοισιν
εὔκηλοι μίμνουσι, καὶ ἔξαλον ὕπνον ἔχουσι.

Ζεῦ μάκαρ, ἐς δὲ σὲ πάντα καὶ ἐκ σέθεν ἐῤῥίζωνται,
εἴτ' οὖν αἰθέρος οἶκον ὑπέρτατον, εἴτ' ἄρα πάντη
ναιετάεις· θνητῷ γὰρ ἀμήχανον ἐξονομῆναι·
οἵη σὺν φιλότητι διακρίνας ἐκέδασσας
αἰθέρα τ' αἰγλήεντα, καὶ ἠέρα, καὶ χυτὸν ὕδωρ,
καὶ χθόνα παμμήτειραν, ἀπ' ἀλλήλων δὲ ἕκαστα·
πάντα δ' ἐν ἀλλήλοισιν ὁμοφροσύνης ὑπὸ δεσμῷ
ἀῤῥήκτῳ συνέδησας, ἀναγκαίῃ δ' ἐπέρεισας
ἀστεμφῆ πάγκοινον ὑπὸ ζυγόν· οὔτε γὰρ αἰθὴρ
ἠέρος, οὔτ' ἀὴρ ἄτερ ὕδατος, οὐδὲ μὲν ὕδωρ
γαίης νόσφι τέτυκται, ἐν ἀλλήλοις δὲ φύονται·
πάντα δ' ὁδὸν μίαν εἶσι, μίαν δ' ἀνελίσσετ' ἀμοιβήν.
τοὔνεκα καὶ ξυνῆσιν ὁμηρεύουσι γενέθλαις
ἀμφιβίων, καὶ τοὶ μὲν ἀναστείχουσ' ἐπὶ γαῖαν
ποντόθεν, ἄλλοι δ' αὖτε κατ' ἠέρος ἀμφιτρίτῃ
μίσγονται, κοῦφοί τε λάροι, στονόεντά τε φῦλα
ἀλκυόνων, κρατεροί θ' ἁλιαίετοι ἁρπακτῆρες,
ἄλλα θ' ὅσ' ἰχθυάα, διερῆς τ' ἐπιβάλλεται ἄγρης·
ἠέρα δ' αὖ τέμνουσι καὶ εἰνάλιοί περ ἐόντες,
τευθίδες, ἰρήκων τε γένος, βυθίη τε χελιδών.
οἱ δ' ὅτε ταρβήσωσιν ὑπέρτερον ἐγγύθεν ἰχθὺν,
ἐξ ἁλὸς ἀνθρώσκουσι καὶ ἠέριοι ποτέονται·
ἀλλ' αἱ μὲν καὶ τῆλε καὶ ὑψόθι ταρσὸν ἱεῖσι
τευθίδες, οὐδέ κεν ὄρνιν ὀΐσσεαι, οὐδέ κεν ἰχθὺν
εἰσοράαν, ἀγεληδὸν ὅθ' ὁρμήσωσι πέτεσθαι·
αἱ δ' ἄρα τῶν ὑπένερθε χελιδόνες οἶμον ἔχουσιν·
ἴρηκες δ' αὐτῆς ἅλμης σχεδὸν ἠερέθονται,
ἄκρον ἐπιψαύοντες ἁλὸς πόρον, ὅσσον ἰδέσθαι
ἄμφω νηχομένοισι καὶ ἱπταμένοισιν ὁμοῖοι.

Αἵδε μὲν ὥστε πόληες ἐν ἰχθύσιν· οἱ δέ θ' ὅμιλοι
κεκριμένοι γεγάασιν ἁλιπλάγκτοιο γενέθλης.
τῶν δ' οἱ μὲν πλάζονται ἀολλέες, αἰόλα φῦλα,
πώεσιν, ἢ στρατιῇσιν ἐοικότες, οἵ τ' ἀγελαῖοι
κέκληνται· τοὶ δ' αὖτε κατὰ στίχας, οἱ δὲ λόχοισιν
εἴκελοι, ἢ δεκάδεσσιν· ὁ δ' ἔρχεται οἶος ἀπ' ἄλλων
μουναδὸν ὁρμηθείς· περόωσι δὲ δίζυγες ἄλλοι·

οἱ δ' αὐτοῦ θαλάμῃσιν ἐν οἰκείῃσι μένουσι.
Χείματι μὲν δὴ πάντες ἀελλάων στροφάλιγγας
σμερδαλέας, αὐτοῦ τε δυσηχέος οἴδματα πόντου
ἔξοχα δειμαίνουσιν, ἐπεὶ περιώσιον ἄλλων
ἰχθυόεντα γένεθλα φίλην πέφρικε θάλασσαν
μαινομένην. τότε δ' οἱ μὲν ἀμησάμενοι πτερύγεσσι
ψάμμον, ὑποπτήσσουσιν ἀναλκίδες· οἱ δ' ὑπὸ πέτραις
εἰλόμενοι δύνουσιν ἀολλέες· οἱ δὲ βάθιστα
ἐς πελάγη φεύγουσι κάτω μυχάτην ὑπὸ βυσσόν.
κεῖνα γὰρ οὔτε λίην προκυλίνδεται, οὔθ' ὑπ' ἀήταις
πρυμνόθεν εἰλεῖται, διὰ δ' ἔσσυται οὔτις ἄελλα
ῥίζαν ἁλὸς νεάτην, μέγα δέ σφισι βένθος ἐρύκει
ῥιγεδανὰς ὀδύνας, καὶ ἀπηνέα χείματος ὁρμήν.
ἀλλ' ὁπότ' ἀνθεμόεσσαι ἐπὶ χθονὸς εἴαρος ὧραι
πορφύρεον γελάσωσιν, ἀναπνεύσῃ δὲ θάλασσα
χείματος εὐδιόωσα, γαληναίη τε γένηται
ἤπια κυμαίνουσα, τότ' ἰχθύες, ἄλλοθεν ἄλλοι,
πανσυδίῃ φοιτῶσι γεγηθότες ἐγγύθι γαίης.
ὡς δὲ πολυῤῥαίσταο νέφος πολέμοιο φυγοῦσα
ὀλβίη ἀθανάτοισι φίλη πόλις, ἥν ῥά τε δηρὸν
δυσμενέων πάγχαλκος ἐπεπλήμμυρε θύελλα,
ὀψὲ δ' ἀπολλήξασα καὶ ἀμπνεύσασα μόθοιο
ἀσπασίως γάνυταί τε, καὶ εἰρήνης καμάτοισι
τέρπεται ἁρπαλέοισι, καὶ εὔδιος εἰλαπινάζει,
ἀνδρῶν τε πλήθουσα χοροιτυπίης τε γυναικῶν·
ὣς οἱ λευγαλέους τε πόνους καὶ φρῖκα θαλάσσης
ἀσπασίως προφυγόντες, ὑπεὶρ ἅλα καγχαλόωντες,
θρώσκοντες θύνουσι, χοροιτυπέουσιν ὁμοῖοι.

## LIB. II. v. 533.

ΔΕΛΦΙΝΕΣ δ' ἀγέλῃσιν ἁλὸς μέγα κοιρανέουσιν,
ἔξοχον ἠνορέῃ τε καὶ ἀγλαΐῃ κομόωντες,
ῥιπῇ τ' ὠκυάλῳ· διὰ γὰρ, βέλος ὥστε, θάλασσαν
ἵπτανται· φλογόεν δὲ σέλας πέμπουσιν ὀπωπαῖς
ὀξύτατον· καί πού τιν' ὑποπτήσσοντα χαράδραις,

καί τιν' ὑπὸ ψαμάθοις εἰλυμένον ἔδρακον ἰχθύν.
ὅσσον γὰρ κούφοισι μετ' οἰωνοῖσιν ἄνακτες
αἰετοὶ, ἢ θήρεσσι μετ' ὠμηστῇσι λέοντες,
ὅσσον ἀριστεύουσιν ἐν ἑρπυστῆρσι δράκοντες,
τόσσον καὶ δελφῖνες ἐν ἰχθύσιν ἡγεμονῆες.
τοῖς δ' οὔτ' ἐρχομένοις πελάσαι σχεδὸν, οὔτε τις ἄντην
ὄσσε βαλεῖν τέτληκεν, ὑποπτήσσουσι δ' ἄνακτος
τηλόθεν ἅλματα δεινὰ καὶ ἄσθματα φυσιόωντος.
οἱ δ' ὁπότ' ἰθύσωσι λιλαιόμενοι μετὰ φορβὴν,
πάντ' ἄμυδις κλονέουσιν ἀθέσφατα πώεα λίμνης
παμφύγδην ἐλόωντες· ἐνέπλησαν δὲ φόβοιο
πάντα πόρον· σκιεροί τε μυχοὶ, χθαμαλαί τε χαράδραι
στείνονται, λιμένες τε καὶ ἠϊόνων ἐπιωγαὶ,
πάντοθεν εἰλομένων· ὁ δὲ δαίνυται ὅν κ' ἐθέλῃσι,
κρινάμενος τὸν ἄριστον ἀπειρεσίων παρεόντων.
   Ἀλλ' ἔμπης καὶ τοῖσιν ἀνάρσιοι ἀντιφέρονται
ἰχθύες, οὓς ἀμίας κικλήσκομεν· οὐδ' ἀλέγουσι
δελφίνων, μοῦναι δὲ καταντία δηριόωνται.
ταῖς μὲν ἀφαυρότερον θύννων δέμας, ἀμφὶ δὲ σάρκες
ἀβληχραὶ, θαμέες δὲ διὰ στόμα λάβρον ὀδόντες
ὀξέα πεφρίκασι, τὸ καὶ μέγα θάρσος ἔχουσιν,
οὐδὲ καταπτήσσουσιν ὑπέρβιον ἡγητῆρα.
εὖτε γὰρ ἀθρήσωσιν ἀπόσσυτον οἶον ἀπ' ἄλλων
δελφίνων ἀγέλης, αἱ δ' ἀθρόαι ἄλλοθεν ἄλλαι,
ἠΰθ' ὑπ' ἀγγελίης στρατὸς ἄσπετος, εἰς ἓν ἰοῦσαι
στέλλονται ποτὶ μῶλον ἀθαμβέες, ὥστ' ἐπὶ πύργον
δυσμενέων θύνοντες ἀρήϊοι ἀσπιστῆρες.
δελφὶς δ' ἠϋγένειος ὑπαντιόωντος ὁμίλου
πρῶτα μὲν οὐκ ἀλέγει, μετὰ δ' ἔσσυται, ἄλλοτε ἄλλην
ἁρπάγδην ἐρύων, μενοεικέα δαῖτα κιχήσας.
ἀλλ' ὅτε μιν πολέμοιο περιστέψωσι φάλαγγες
πάντοθεν, ἀμφὶ δέ μιν στῖφος μέγα κυκλώσωνται,
δὴ τότε οἱ καὶ μόχθος ὑπὸ φρένα δύεται ἤδη·
ἔγνω δ' αἰπὺν ὄλεθρον ἀπειρεσίοις ἔνι μοῦνος
ἐρχθεὶς δυσμενέεσσι, πόνος δ' ἀναφαίνεται ἀλκῆς.
αἱ μὲν γὰρ λυσσηδὸν ἀολλέες ἀμφιχυθεῖσαι

δελφῖνος μελέεσσι, βίην ἐνέρεισαν ὀδόντων·
πάντῃ δὲ πρίουσι, καὶ ἄτροποι ἐμπεφύασι,
πολλαὶ μὲν κεφαλῆς δεδραγμέναι, αἱ δὲ γενείων
γλαυκῶν, αἱ δ' αὐτῇσιν ἐνὶ πτερύγεσσιν ἔχονται·
πολλαὶ δ' ἐν λαγόνεσσι γένυν πήξαντο δαφοινήν·
ἄλλαι δ' ἀκροτάτην οὐρὴν ἕλον· αἱ δ' ὑπένερθε
νηδύν· αἱ δ' ἄρ' ὕπερθεν ὑπὲρ νώτοιο νέμονται·
ἄλλαι δ' ἐκ λοφιῆς, αἱ δ' αὐχένος ἠώρηνται.
αὐτὰρ ὁ παντοίοισι περιπληθὴς καμάτοισι
πόντον ἐπαιγίζει, σφακέλῳ δέ οἱ ἔνδον ὀρεχθεῖ
μαινομένη κραδίη, φλεγέθει δέ οἱ ἦτορ ἀνίῃ·
πάντῃ δὲ θρώσκει, καὶ ἑλίσσεται ἄκριτα θύων,
παφλάζων ὀδύνῃσι· κυβιστητῆρι δ' ἐοικὼς
ἄλλοτε μὲν βαθὺ κῦμα διατρέχει ἠΰτε λαῖλαψ,
ἄλλοτε δ' ἐς νεάτην φέρεται βρύχα, πολλάκι δ' ἅλμης
ἀφρὸν ὑπερθρώσκων ἀναπάλλεται, εἴ ἑ μεθείη
ἐσμὸς ὑπερφιάλων νεπόδων θρασύς. αἱ δ' ἀλίαστοι
οὔ τι βίης μεθιᾶσιν, ὁμῶς δέ οἱ ἐμπεφύασι,
καί οἱ δυομένῳ τε μίαν δύνουσι κέλευθον·
αὖτις δ' ἀνθρώσκοντι σὺν ἔξαλοι ἀΐσσουσιν
ἑλκόμεναι. φαίης κε νέον τέρας Ἐννοσιγαίῳ
τίκτεσθαι δελφῖσι μεμιγμένον ἠδ' ἀμίῃσιν·
ὧδε γὰρ ἀργαλέῃ ξυνοχῇ πεπέδηται ὀδόντων.
ὡς δ' ὅταν ἰητὴρ πολυμήχανος, ἕλκος ἀφύσσων
οἰδαλέον, τῷ πολλὸν ἀνάρσιον ἔνδοθεν αἷμα
ἐννέμεται, διερὰς τε γονὰς κυανόχροα λίμνης
ἑρπετὰ τειρομένοιο κατὰ χροὸς ἐστήριξε
δαίνυσθαι μέλαν αἷμα· τὰ δ' αὐτίκα γυρωθέντα
κυρτοῦται, καὶ λύθρον ἐφέλκεται, οὐδ' ἀνίησιν,
εἰσόκεν αἱμοβαρῆ ζωρὸν ποτὸν αὖ ἐρύσαντα
ἐκ χροὸς αὐτοκύλιστα πέσῃ μεθύουσιν ὅμοια·
ὣς ἀμίαις οὐ πρόσθε χαλᾷ μένος, εἰσόκε σάρκα
κείνην, ἥν ποτ' ἔμαρψαν, ὑπὸ στόμα δαιτρεύσωνται.
ἀλλ' ὅτε μιν προλίπωσιν, ἀναπνεύσῃ δὲ πόνοιο
δελφὶς, δὴ τότε λύσσαν ἐσόψεαι ἡγητῆρος
χωομένου· κρυερὴ δ' ἀμίαις ἀναφαίνεται ἄτη.

αἱ μὲν γὰρ φεύγουσιν, ὁ δ' ἐξόπιθεν κεραΐζων,
εἰδόμενος πρηστῆρι δυσηχέϊ, πάντ' ἀμαθύνει
δάπτων ἐμμενέως, κατὰ δ' αἵματι πόντον ἐρεύθει
αἰχμάζων γενύεσσι, παθὼν δ' ἀπετίσατο λώβην.
ὧδε καὶ ἐν ξυλόχοισιν ἔχει φάτις ἀγρευτήρων
θῶας ὑπερφιάλους ἔλαφον περιποιπνύεσθαι
ἀγρομένους. οἱ μὲν γὰρ ἐπαΐγδην γενύεσσι
σάρκας ἀφαρπάζουσι, καὶ ἀρτιχύτοιο φόνοιο
θερμὸν ἔαρ λάπτουσιν· ὁ δ' ἀσχαλόων, ὀδύνῃσι
βεβρυχὼς, ὀλοῇσι περίπλεος ὠτειλῇσιν,
ἄλλοτ' ἐπ' ἀλλοίων ὀρέων διαπάλλεται ἄκρας.
οἱ δέ μιν οὐ λείπουσιν, ἀεὶ δέ οἱ ἐγγὺς ἕπονται
ὠμησταὶ, ζωὸν δὲ διαρταμέοντες ὀδοῦσι
ῥινὸν ἀποσχίζουσι, πάρος θανάτοιο κυρῆσαι,
δαῖτα κελαινοτάτην τε καὶ ἀλγίστην πονέοντες.
ἀλλ' ἤτοι θῶες μὲν ἀναιδέες οὔτιν' ἔτισαν
ποινὴν, ἐκ δ' ἐγέλασσαν ἐπὶ φθιμένοις ἐλάφοισιν·
θαρσαλέαι δ' ἀμίαι τάχα κύντερα δηρίσαντο.
Δελφίνων κἀκεῖνο πανέξοχον ἔργον ἀκούων
ἠγασάμην. τοῖς δ' εὖτ' ἂν ὀλέθριος ἐγγὺς ἵκηται
νοῦσος ἀταρτηρὴ, τούσδ' οὐ λάθεν, ἀλλ' ἐδάησαν
τέρμα βίου· πέλαγος δὲ καὶ εὐρέα βένθεα λίμνης
φεύγοντες κούφοισιν ἐπ' αἰγιάλοισιν ἔκελσαν,
ἔνθ' ἀποπνείουσι, καὶ ἐπὶ χθονὶ μοῖραν ἕλοντο,
ὄφρα τις ἢ μερόπων ἱερὸν τρόχιν Ἐννοσιγαίου
κείμενον αἰδέσσαιτο, χυτῇ δ' ἐπὶ θινὶ καλύψοι,
μνησάμενος φιλότητος ἐνηέος, ἠὲ καὶ αὐτὴ
βρασσομένη ψαμάθοισι δέμας κρύψειε θάλασσα,
μηδέ τις εἰναλίων ἐσίδοι νέκυν ἡγητῆρα,
μηδέ τις οἰχομένῳ περ ἐνὶ χροῒ λωβήσαιτο
δυσμενέων· ἀρετὴ δὲ καὶ ὀλλυμένοισιν ὀπηδεῖ
καὶ κράτος, οὐδ' ᾔσχυναν ἑὸν κλέος οὐδὲ θανόντες.
Κεστρέα δ' ἐν πάντεσσιν ἁλὸς νεπόδεσσιν ἀκούω
φέρβειν πρηΰτατόν τε δικαιότατόν τε νόημα.
μοῦνοι γὰρ κεστρῆες ἐνηέες οὔθ' ὁμόφυλον,
οὔτε τιν' ἀλλοίης γενεῆς ἄπο πημαίνουσιν,

οὐδέ ποτε ψαύουσιν ὑπὸ στόμα σαρκὸς ἐδωδῆς,
οὐδὲ φόνου λάπτουσιν· ἀπημοσύνῃ δὲ νέμονται
αἵματος ἄχραντοι καὶ ἀκηδέες, ἁγνὰ γένεθλα.
φέρβονται δ' ἢ χλωρὸν ἁλὸς μνίον, ἠὲ καὶ αὐτὴν
ἰλὺν, ἀλλήλων τε δέμας περιλιχμάζουσι·
τοὔνεκα καί τιν' ἔχουσι μετ' ἰχθύσι τίμιον αἰδῶ.
οὐ γάρ τις κείνων νεαρὸν τόκον, οἷα καὶ ἄλλων,
σίνεται, ὠμοφάγων δὲ βίην ἀνέχουσιν ὀδόντων.
ὡς αἰεὶ μετὰ πᾶσι δίκης πρεσβήϊα κεῖται
αἰδοίης· πάντῃ δὲ γεράσμιον ἤρατο τιμήν.
οἱ δ' ἄλλοι μάλα πάντες ὀλέθριοι ἀλλήλοισιν
ἔρχονται, τὸ καὶ οὔποτ' ἐσόψεαι ὑπνώοντας
ἔλλοπας, ἀλλ' ἄρα τοῖσι καὶ ὄμματα καὶ νόος αἰὲν
ἐγρήσσει πανάϋπνος· ἐπεὶ τρομέουσι μὲν αἰεὶ
φέρτερον ἀντιόωντα, χερειοτέρους δ' ὀλέκουσι.
μοῦνον δ' οὔποτε φασὶν ἀνὰ κνέφας ἀσπαλιῆες
εἰς ἄγρην πεσέειν ἀπαλὸν σκάρον, ἀλλά που ὕπνον
ἐννύχιον κοίλοισιν ὑπαὶ κευθμῶσιν ἰαύειν.

Οὐ μέντοι τόδε θαῦμα Δίκην ἀπάνευθε θαλάσσης
ναιετάειν. οὐ γάρ τι πάλαι πρέσβειρα θεάων
οὐδὲ μετὰ θνητοῖσιν ἔχε θρόνον· ἀλλὰ κυδοιμοὶ
δυσκέλαδοι, καὶ θοῦρος Ἄρης, φθισίμβροτος Ἄτη,
μαῖά τ' ἐρικλαύστων πολέμων Ἔρις ἀλγεσίδωρος,
ἔφλεγον ἡμερίων δειλὸν γένος· οὐδέ τι θηρῶν
κεκριμέναι πόλιες μερόπων ἔσαν, ἀλλὰ λεόντων
αἰνότεραι πύργους τ' εὐτείχεας ἠδὲ μέλαθρα
νηοὺς τ' ἀθανάτων εὐώδεας αἵματι φωτῶν
καπνῷ τ' αἰθαλόεντι κατείνυον Ἡφαίστοιο·
εἰσόκε ῥαιομένην γενεὴν ᾤκτειρε Κρονίων,
ὑμῖν δ' Αἰνεάδῃσιν ἐπέτραπε γαῖαν ἀνάψας.
ἀλλ' ἔτι καὶ προτέροισιν ἐν Αὐσονίων βασιλεῦσι
θῦνεν Ἄρης, Κελτούς τε, καὶ αὐχήεντας Ἴβηρας
θωρήσσων, Λιβύης τε πολὺν πόρον, ἔργα τε Ῥήνου,
Ἴστρον τ', Εὐφρήτην τε. τί μοι τάδε δούρατος ἔργα
μεμνῆσθαι; νῦν γάρ σε, Δίκη θρέπτειρα πολήων,
γινώσκω μερόπεσσι συνέστιον ἠδὲ σύνοικον,

ἐξ οὗ μοι κραίνουσι, μέγαν θρόνον ἐμβεβαῶτες,
ἄμφω θεσπέσιός τε πατὴρ, καὶ φαίδιμος ὄρπηξ,
ἐκ τῶν μοι γλυκὺς ὅρμος ἀνακτορίης πεπέτασται.
τούς μοι καὶ ῥύοισθε καὶ ἔμπεδον ἰθύνοιτε
πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαῦτων,
Ζεῦ τε, καὶ Οὐρανίδαι, Ζηνὸς χορὸς, εἴ τις ἀμοιβὴ
εὐσεβίης· σκήπτρῳ δὲ τελεσφόρον ὄλβον ἄγοιτε.

# APPENDIX I.

## *Excerpta ex Hermanno*

### DE VERSU HEROICO.

VERSUUM omnium et antiquissimus et nobilissimus est hexameter heroicus, cujus originem plerique ad Phemonoën retulerunt. Nec sane immerito divinum quid habere visa est hujus versus inventio. Quis est enim, qui, si accuratius ejus naturam consideraverit, non admiretur Græcorum sollertiam, qui in ipsis artis primordiis statim illud metrum repererint, in quo omnia, quæ gratam varietatem, venustatem, dignitatem carminibus adderent, conjuncta cernerentur? Paucis, quid ego sentiam, volo exponere. Animadvertebant, qui primi communem sermonem ad poësin attollere conabantur, numero opus esse, qui dum humilitatem familiaris orationis desereret, retineret tamen ejus æquabilitatem, quo pariter et omnibus rebus exponendis aptus esset, et diu sine tædio continuaretur. Ita fieri non potuit, quin dactylicum numerum cæteris præferrent, qui, quoniam simillimus tribracho est, dum hujus alacritatem haberet, fortius tamen incederet, simul autem apte spondeorum tarditate posset temperari. Curandum erat, ut, dum æquabiliter procederet versus, tamen varietatem idoneam haberet. Itaque ordines non modo nec longi nimis, nec breves, sed etiam cum similitudine dissimiles esse debebant. Utrumque consequuti sunt, quum versum ex his ordinibus composuerunt,

–́ ⏑⏑ – ⏑⏑ – | ⏑⏑ –́ ⏑⏑ – ⏑⏑ – ⏑

quorum quum uterque eam habeat magnitudinem, quæ neque brevitate sua orationem concisam reddat, nec nimia longitudine molestiam in pronunciando creet, ambo ad æquabilitatem numeri conservandam conspirant, sed ita, ut, quoniam dissimiles sunt, aptam simul varietatem ei addant. Numquam, si quis varietate recte uti sciat, tædio auditorem afficiat. De hac re omni deinceps explicabimus, Romanorum promiscue et Græcorum exemplis utentes.

Atque apud Romanos primus, qui hoc versu uteretur, fuit Q. Ennius: quod ipsi Ennio credo, versus Saturnios ridenti:

quos olim Fauni vatesque canebant,
quom neque Musarum scopulos quisquam superarat,
nec dicti studiosus erat,

et quidem *ante hunc*: tum illa,

nos ausi reserare,

certius rem confirmant.

Apud Græcos versus heroicus mutationes quasdam expertus est, sive prosodiam spectes, sive ipsos numeros. Hic mihi hoc tantum commemorandum est, inde ab Homero usque ad quintum a Christo sæculum poëtas epicos hac forma usos esse, quæ et spondeos promiscue cum dactylis commutatos, et cæsuram potissimum habet masculam illam, quæ *πενθημιμερὴς* a grammaticis vocatur, quæ est in tertii pedis arsi. Sed eo, quo dixi, sæculo eo jam processerat poëtarum inscitia, ut, quæ præterea ad elegantiam versus heroici conferrent, plane ignorasse videantur. Tum exstitit vir fervidioris ingenii, et in primis ad poësin factus, Nonnus Panopolitanus, qui edito ingenti volumine Dionysiacorum omnes, qui tum vivebant, poëtas ita præstinxit, ut quasi novus Homerus haberetur. Is dactylum rarius spondeo cedere passus, cæsuram regnare voluit eam, quæ a grammaticis *κατὰ τρίτον τροχαῖον* vocatur: quo volubilitatem, quam consectabatur, huic versui conciliavit admirabilem:

*εἰπὲ, θεὰ, Κρονίδαο διάκτορον αἴθοπος αὐγῆς.*

Hunc igitur, ut priores Homerum, ita, qui post eum fuerunt, omnes exemplum sibi sumpserunt, ut vel ex numeris ætatem eorum conjicere possimus, veluti Musæus, Tryphiodorus, Coluthus, et posteriores alii.

Sed dicatur jam de cæsuris versus heroici. Earum grammatici quattuor commemorant, *πενθημιμερῆ, κατὰ τρίτον τροχαῖον, ἑφθημιμερῆ, τετραποδίαν βουκολικήν.* Vide Gellium, Diomedem, Terentianum, Marium Victorinum.

Prima cæsura est in prima arsi. Ea præclare usus est Homerus Iliad. *α'*. 51. Odyss. *μ'*. 439.

*αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχιπευκὲς ἐφιεὶς*
*βάλλ', - αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.*
*ἐελδομένῳ δέ μοι ἦλθεν*
*ὄψ' - ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη.*

Tertia in fine primæ theseos. Iliad. *τ'*. 319.

*ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,*
*σῇ πόθῃ. - οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι.*

et *ω'*. 500.

*τὸν σὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης*
*Ἕκτορα· - τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν.*

Virgilius Georg. IV. 195.

ut cymbæ instabiles fluctu jactante saburram
tollunt: - his sese per inania nubila librant.

Quarta est in secunda arsi. Theocritus XXV. sæpius, ut 260.

> τῷ μὲν ὑπὲκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεὸς
> καμπτόμενος, - τήλοῦ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ.

Virgilius Georg. II. 296.

> tum fortes late ramos et brachia tendens
> huc illuc, - media ipsa ingentem sustinet umbram.

Sexta in fine secundæ theseos. Virgilius Georg. III. 99.

> ut quondam in stipulis magnus sine viribus ignis
> incassum furit: - ergo animos ævumque notabis.

Septima, quam πενθημιμερῆ vocant, in tertia arsi est:

> fortunam Priami - cantabo et nobile bellum.

Hanc ostendimus propriam esse versus heroici cæsuram, eaque inde ab Homero apud epicos pariter et cæteros, qui hexametro usi sunt, legitima habita est. Idque in mente habuisse puto Varronem apud Gellium XVIII. 15. quum dixit, omnimodo in quinto semipede verbum terminari. Quod sicubi negligitur hæc cæsura, substitui ei necesse est aliam earum, quæ versum apte in duas partes dirimant. Hæ sunt autem plerumque octava, rarius decima, perraro duodecima. Nam etiam ubi potior cæsura non fit in tertio pede, tamen curari solet, ne ille sine omni incisione sit, quia sic asperior fit numerus, et exuere videtur naturam versus heroici. Octava igitur cæsura omnium aptissima est, quæ propriæ locum teneat,

> ἄνδρα μοι ἔννεπε, Μοῦσα, - πολύτροπον, ὃς μάλα πολλά.

Decima talis est, ut apud Catullum in Epithal. Pelei. v. 139.

> Eumenides, quibus anguineo - redimita capillo.

Ea hoc in versu, et simile quid in aliis hujus generis versibus animadverti licet, hanc ob caussam minus offensionis habet, quod potior cæsura est in secunda arsi, unde versus in tres ordines dividitur,

> Eumenides, - quibus anguineo - redimita capillo.

Duodecima minus grata est, et tantummodo, ne versus plane pravus sit, efficit, ut apud Lucretium III. 544. 611.

> an contractis in se partibus - obbrutescat.
> dissolvi: quod si immortalis - nostra foret mens.

Quorum versuum secundus melior, propter eamdem rationem, quam indicavimus, quia ex tribus ordinibus constans, aliam potiorem cæsuram habet.

Octava cæsura, quam κατὰ τρίτον τροχαῖον grammatici vocant, ut supra dictum est, ab Nonno, et qui hunc sequuti sunt, ut legitima usurpatur. Hæc talis est,

> Orphei Calliopea, - Lino formosus Apollo.

Propter lenitatem hæc mollibus argumentis accommodatissima est. Ita fere ubique eam usurpatam videas in Moschi epitaphio Bionis. Eadem interdum tranquillam quamdam gravitatem habet, ut in Odyss. λ'. 538.

ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
φοίτα μακρὰ βιβῶσα κατ' ἀσφοδελὸν λειμῶνα.

Apte usurpata est etiam in hoc versu, Iliad. δ'. 455.

τῶν δέ τε τήλοσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν.

Sæpissime autem volubilitatem auget. Homerus Od. λ'. 598.

αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.

v. Lucr. III. 116. VI. 336. Cat. in Ep. Pel. 115.

Nona, quæ est in fine tertii pedis, quoniam in duas æquales partes versum dirimit, præsertim si spondeus sit tertius pes, minime suavis est. Usus est ea tamen non sine vi quadam Virgilius, artifex in his rebus laboriosissimus, G. I. 357.

incipiunt agitata tumescere, et aridus altis
montibus audiri fragor: - aut resonantia longe.

Decima quoque, quæ in quarta arsi est, idem poëta apte utitur,

non aliter, quam qui adverso vix flumine lembum
remigiis subigit.

Undecima, quæ κατὰ τέταρτον τροχαῖον a grammaticis vocatur, rarissima est, et studiose vitatur: ut Terentianus exemplorum penuria ipse versum finxerit,

quæ pax longa remiserat arma, novare parabant.

Vid. etiam Mar. Vict. Nam non modo ipsa mollis est, sed etiam debilem reddit postremum ordinem, qui a levi anacrusi incipiens, statim in prima dactyli repetitione trochæo exstinguatur. Id adeo offensioni fuit veteribus, ut, etiam si versus alias haberet incisiones, tamen diligenter caverint, ne in medio quarto dactylo terminaretur vocabulum. Itaque apud bonos poëtas perrari sunt versus, qualis hic est Iliad. ι'. 394.

Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.

Sed quo quisque deterior est ac negligentior, id quod in multos recentiorum cadit, eo majorem in hac re incuriam deprehendas. Illud vix opus est monere, si ultimum quarti pedis tempus in voce monosyllaba sit, eaque non ad sequentia, sed ad præcedentia pertineat, abesse illam offensionem. Itaque frequentissimi sunt tales versus, ut,

ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός.
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε.
λὰξ ποδὶ κινήσας, ὤτρυνέ τε νείκεσέ τ' ἄντην.
πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε, δόχμιά τ' ἦλθον.

Neque offensionem habet terminatum eo loco vocabulum, si præcedit vox monosyllaba ad sequentia pertinens, ut,

ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.

Quod si hoc non fit, plerumque operam dederunt poëtæ, ut certe in quinta arsi vox finiretur, ut Iliad. ζ'. 2.

πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο.

Multo enim deterior est numerus, si finitur in media quinta thesi, ut ψ'. 760.

ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο.

Sæpius cæsura ista apud Latinos invenitur. Nempe apud Ovidium et Calpurnium frequentissima hæc incisio est. Nam Horatium, apud quem ipsum quoque plurima exempla inveniri licet, commemorare nolo : de quo infra dicam.

Duodecima nobilis incisio est, quam Græci, quod ea apud bucolicos poëtas legitima habetur, τετραποδίαν βουκολικὴν vocarunt:

ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, - αἰπόλε, τῆνα.

Mirum est, Virgilium in Eclogis deseruisse exemplum Theocriti. Hæc cæsura etiam apud epicos poëtas sæpissime invenitur, fecitque, ut quartus pes singulari licentia frueretur: de qua re sæpius mentio facta est in primo libro. Magnam interdum vim hæc incisio ad augendam rei, quæ describitur, magnitudinem habet, ut apud Homerum Iliad δ'. 424.

πόντῳ μὲν τὰ πρῶτα κορύσσεται, - αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, - ἀμφὶ δέ τ' ἄκρας.

[a] Callimachus II. ad Ap.

'Ασσυρίου ποταμοῖο μέγας ῥόος - ἀλλὰ, τὰ πόλλα.

Dionysius Periegetes v. 131.

Αἰγαίου πόντοιο πλατὺν πόρον· ἔνθα τε κῦμα.

Lucretius III. 920. VI. 155. 1260.

insatiabiliter deflebimus ; - æternumque.
denique sæpe geli multus fragor, - atque ruina.
omnia complebant loca tectaque, - quo mage eos tum.

Virgilius Georg. I. 356.

continuo ventis surgentibus, - aut freta ponti.

et Æn. IX. 721.

bellatorque animos deus incidit.

Unde apud Statium Theb. I. 3.

Pierius menti calor incidit - unde jubetis.

a Paucula quidem hic, et aliis in Excerptis Hermannianis aut addidimus aut substraximus aut refinximus, quæ tamen non operæ pretium erat distinguere.

Tertia decima non inepte usus est Ennius in his versibus:

nam me visus homo pulcer per amœna salicta
et ripas raptare, locosque novos: - ita sola
postilla, germana soror, errare videbar,
tardaque vestigare, et quærere te, - neque posse
corde capessere: semita nulla pedem stabilibat.

In quorum versuum ultimo etiam sexta cæsura etsi parum illa elegans, tamen ad declarandam perturbationem animi valde accommodata est.

Memorabilis est quinta decima incisio, quæ est in fine pedis quinti, improbata Græcis grammaticis. Od. β'. 77.

τόφρα γὰρ ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα, μύθῳ
χρήματ' ἀπαιτίζοντες.

Egregia est observatio Bentleii ad Lucanum I. 231. merito repetita a Gaisfordio ad Hephæst. p. 270. Latinos poëtas quum hac cæsura utuntur, fere in sexto pede duas ponere voces monosyllabas, ut Virgilium in Ecl. VII. 35.

nunc te marmoreum pro tempore fecimus: - at tu.

Exemplis, quæ ille attulit, adde Virg. Georg. I. 370.

at Boreæ de parte trucis quum fulminat, - et quum.

Sed quod idem contendit, aliquot exemplis permotus, eamdem rationem esse, quum disyllaba vox, sed repetita, sextum pedem tenet, ut apud Virgil. Ecl. VI. 39.

incipiant silvæ quum primum surgere, - quumque.

apud Lucanum VII. 350.

ipsi tela regent per viscera Cæsaris, ipsi

apud Virgilium, Æn. V. 633.

nullane jam Trojæ dicentur mœnia, - nusquam,

ubi etsi non vox eadem, at sensus tamen idem iteratur: id argutius, quam verius dictum puto. Omninoque obscurior est ratio, qua explicare vir summus et hoc et duas istas monosyllabas voces conatur, more suo ad arcanam musices rationem provocans: quam si ipse satis explicatam habuisset, neque arcanam, opinor, appellavisset, et exponere, quam digitum ad eam intendere maluisset. Nimirum vir eximius acute sentire, quid recte, quid secus fieret, solebat, sed explicare nunc nolebat, nunc alia, quam debebat, via aggrediebatur. Mihi quidem ex illis duabus observationibus hæc tantum vera videtur, quæ est de duabus in sexto pede vocibus monosyllabis, alteram casui tribuendam puto. Nam etiam sine repetitione disyllaba vox eum locum tenet, ut in Æn. X. 195.

ingentem remis Centaurum promovet: - ille.

Sed quum sentirent poëtæ, ubi ista cæsura uterentur, nimis

brevem esse ultimum ordinem, quam ut apte ad præcedentia comparari posset, ei incommodo sic plerumque mederi studuerunt, ut eum ex duabus vocibus componerent, quo id consequebantur, ut, dum singulæ seorsim, et, ut in initio sententiæ, gravius pronunciarentur, multo diutius vox iis immorari cogeretur, eaque re longior fieret ultima pars versus. Videtur enim illa jam magis ex duobus ordinibus, i. e. ex duabus arsibus constare,

> át Boreæ de parte trucis quum fulminat, - ét - quúm,

habetque eamdem rationem, ut, quam statim commemorabimus, postrema cæsura. Cæterum exempla duarum in fine vocum monosyllabarum ex Horatio multa reperies.

Hæc, quæ numero est sexta decima, in sexta arsi est, quo quidem loco non sane oratio finiri solet: esset enim hoc satis ineptum, ante syllabam finalem concludere orationem, ipsoque in fine versus novam incipere sententiam: sed vocabulum tamen sæpe eo loco terminatur, succedente voce monosyllaba, eaque tali, quæ non sine accentu pronuncianda sit. Quo fit, ut ea vox non possit in thesi delitescere, sed novo ictu notata per se aliquem ordinem faciat, thesi illa in arsin mutata. Sic Odyss. θ'. 69.

> γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν - νύξ.

Dionysius Periegetes v. 759.

> ἐσχατιάς· πέρι δέ σφι δυσήνεμος ἐκτέταται - χθών.

Virgilius Æn. I. 105.

> dát latus, ínsequitur cumuló præruptus aquæ - móns.

et Georg. I. 247.

> íllic ut perhibent, aut íntempesta silet - nóx.

Et his quidem in locis gravis est et severa hæc incisio: alibi autem ad res leves et pusillas transfertur, ut apud Horatium,

> párturiunt montes, nascétur ridiculus - mús;

et apud Virgilium Georg. I. 181.

> túm variæ illudant pestes: sæpe éxiguus - mús.

ubi de ea cæsura videndus est Vossius. Ausonius jocosior plane est prætermittendus.

In hujusmodi rebus exili diligentia apud Romanos Virgilius, apud nostros Vossius elaborarunt. Homerus, et quiqui natura magis, quam disciplina poëtæ fuerunt, non anxie talia quæsivere, sed, dum sensum suum atque animi impetum sequuntur, ultro oblata non repudiaverunt. Hinc illa est tamen incredibilis et pene divina vis, quam habet versus heroicus, dum non modo pro mensuræ diversitatibus celerius, vel tardius incedit, sed etiam pro mira illa varietate cæsurarum

modo volubilis, modo gravis; modo lenis, modo asper; modo sedatus, modo agitatus est. Atque hæc ordinum varietas quodammodo in singulis versibus requiritur. Ii enim sunt pessimi versus, qui nimiam habent ordinum similitudinem, ut quum in duas æquales partes dividitur versus, sicut apud Ennium VII. Annal.

> Pœni pervortentes - omnia circumcursant;

vel quum singuli pedes vocabulo terminantur, ut apud eumdem p. 169. ed. Hessel.

> sparsis hastis longis campus splendet et horret;

etsi interdum id non sine quadam virtute fit, ut in alio ejusdem poëtæ versu.

> disperge hostis, distrahe, diduc, divide, differ.

Grammatici hujusmodi versum ὑπόῤῥυθμον vocant nemo veterum hos numeros approbaret

> Sole cadente juvencus aratra reliquit in arvo.

Circa finem versus, ut sæpe monuimus, cultiorem ac nitidiorem decet numerum esse, remissis jam viribus, et aure finito versu sonum quasi aliquamdiu retinente. Hinc, quod multi præcipiunt, versum heroicum non esse terminandum vocabulo tetrasyllabo, cujus duæ priores syllabæ breves sint, non propter istam vocem verum est, sed propter vocem prægressam. Quæ si anapæstus fuerit, asper est et insuavis versus, ut hic Lucretii II. 77.

> aúgescunt aliæ gentes, - aliǽ - minuúntur.

Quare præmitti solet longior vox, ut apud Virgilium,

> A′mphion Dircæus in A′ctæo - Aracýntho,
> lámentis gemituque et fémineo - ululátu.

Paullo durior est numerus, si ea vox, quum anapæsto finitur, etiam anacrusin habet, ut in Virgilii Æn. XII. 419.

> ámbrosiæ succos et odóriferam - panacéam.

Aliam rationem habet illud, quod non laudatur versus, in quo duo extremi pedes una voce contineantur. Id propterea fit, quia, quum minui vim numeri in extremo versu conveniat, augetur ea, longiore ordine sequente breviorem: etsi interdum tales versus, si sententiæ accommodati sunt, suam virtutem habent, ut apud Lucretium III. 71.

> cónduplicant avidi, cædém cædi áccumulantes.

Ad mensuram quod attinet, in qua cæsurarum quoque aliqua vis est, pleraque jam antea tetigi. Homerum quidem et Hesiodum cecinisse potius carmina sua, quam recitasse, vix erit, qui dubitet: sed istam modulationem valde simplicem fuisse credibile est, ut, ubi justa mensura syllabarum

neglecta est, id partim necessitati a metro impositæ, partim pronunciationi ab accentu determinatæ, quam poësis nondum omnem deseruerat, partim vero etiam cæsuris tribuendum videatur.

Pedes alienos, anapæstum et proceleusmaticum, sicubi admisisse veterrimi videbuntur, ut

Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον,
νέα μεν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων,
πλέωνές κεν μνηστῆρες ἐν ὑμετεροῖσι δόμοισιν,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τρόχον ἔνδον ἐόντος,

eos contractione facta tolli, apertum est. In Odyss. ό. 83. Wolfius nunc dedit,

αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,

ubi olim ἀποπέμψει legebatur. Hor. Ep. II. 2. 120.

Vehemens et liquidus, puroque simillimus amni.

Non minus constat, apud Latinos "tenuia, abiete, fluviorum "rex Eridanus," apud Virgil. Georg. I. 482. et quæ sunt hujusmodi alia, non proceleusmaticos, sed dactylos esse. Ennius tamen et proceleusmaticum et anapæstum in primo pede, qui aptior tali licentiæ est, sibi indulsit in his versibus

capitibus nutantis pinus rectosque cupressos.
melanurum, turdum, merulamque, umbramque marinam.

Trochæus, qui interdum apud Homerum invenitur, si in quarto pede est, quam excusationem habeat, ostendimus. In primo pede nomini proprio aliquid condonandum videtur in Homerico hymno Apollinis v. 373.

Πύθιον καλέουσιν ἐπώνυμον, οὕνεκα κεῖθι.

Sed in illo, Od. κ'. 493. μ'. 267.

μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν,
μάντιος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,

μάντηος scribendum esse puto. Μάντεϊ constans lectio est Iliad. ν'. 69. Variat scriptura ω'. 221. ubi Wolfius μάντιες prætulit. Videtur hoc nomen, ut πόλις, triplicem declinationem habuisse. Varro apud Nonium p. 272. scripserat, haud dubie de Ajace loquens,

mox unum credit ferro se cædere Ulixem,
quum bacchans silvam cædit, porcosque trucidat.

Male ibi *maximum* legitur. Lucilii verba fragm. 64. apud interpretem Juvenalis ad III. 175. fortasse hoc modo distribuenda sunt:

principio exitus dignus,
exodiumque sequetur.

Quinta sedes legitimum pedem habet dactylum, quia sic exitus numeri suavior est. Rarior spondeus eo in loco est, sed interdum gravitate sua et tarditate ad sententiam aptissimus. Ita apud Virgilium Ecl. IV. 49.

cara deum soboles, magnum Jovis incrementum.

Romani in hoc genere versuum plerumque ultimam vocem ex quattuor syllabis constare voluerunt, quia sic in iis, quæ eam vocem præcedunt, fere evitari potest ictus in ultimam incidens; ut apud Propertium II. 14, 49.

sunt apud infernos tot millia formosarum.

Ov. Her.

Compressos utinam Symplegades elisissent,

Rara tamen hæc in Elegiacis. Vide Catullum, qui præ cæteris hoc exitu delectatus est, in Epithal. Pel. Rarius longior quattuor syllabis vox in fine est, ut apud Catull. Epithal. Pel. 286.

Tempe, quæ silvæ cingunt superimpendentes,

nisi hoc dividi placet. Trisyllaba vocabula in fine, propter ictum, qui tum in ultimam præcedentis vocabuli syllabam incidit, minus probantur. Sic apud Catullum est LXVI. 57.

ipsa suum Zephyritis eo famulum legarat :

apud Virgilium Æn. VII. 634.

aut levis ocreas lento ducunt argento.

Evitatur asperitas nunc insertis brevioribus vocibus, ut apud Catullum in Epithal. Pel. 44.

regia, fulgenti splendent auro atque argento:

et Æn. VIII. 679.

cum populo, patribusque, penatibus, et magnis dis :

nunc longiore præmittendo vocabulo, ut in Georg. III. 276.

saxa per et scopulos et depressas convallis.

Catullus in Epith. Pel. 74—253.

egressus curvis e litoribus Piræi.
cum thyaso Satyrorum, et Nisigenis Silenis.

Recentiores et Græcorum et Romanorum poëtæ defugerunt versum heroicum ex solis spondeis facere: quod genus Maximus Victorinus durum esse ait, ut Albinus in libro, quem de metris scripsit, ita posuerit,

vilem spondeo totum concludere versum.

Antiquiores et Græcorum et Romanorum poëtæ aliter sensere, qui non modo duos tantum vel unum dactylum in principio posuerunt, ut Virgilius Georg. III. 276.

saxa per et scopulos et depressas convallis,

Catullus LXVIII. 87.

nam tum Helenæ raptu primores Argivorum,

sed interdum etiam solis utuntur spondeis, ut Homerus Iliad. λ'. 130.

Ἀτρείδης·[a] τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην·

Ennius,

olli respondet rex Albai longai.
cives Romani tunc facti sunt Campani.
Romani muris Albam cinxerunt Longam.

Lucretius VI. 1133.

an cælum nobis natura ultro corruptum.

Catullus CXVI. 3.

quis te lenirem nobis, ne conarere.

Ultimus pes dubitari potest, utrum spondeus natura sua an trochæus sit. Atque haud scio, an eum in hexametris dactylicis, quibus tragicos uti supra dictum est, plerumque spondeum potius, quam trochæum esse dicam, quoniam hi versus per dipodias dactylicas incedunt, æqualem ubique cursum servantes. In heroico autem versu, a quo ista ordinum æqualitas abest, quique sæpe etiam in medio trochaicam clausulam habet, quæ κατὰ τρίτον τροχαῖον vocatur, tanto confidentius ultimum pedem trochæum esse contenderim, quod is irrationalibus dactylis etiam aptior esse, quam spondeus, videtur. Verum id nihil impedit, quin poëtas, ubi liberum erat, brevi an longa syllaba finire versum vellent, longam prætulisse credamus. Nam in fine versus quoniam consistit vox et pausa fit in pronunciando, longa syllaba, quia stabilior est, omnino ad concludendum versum aptior est judicata. Itaque et ν paragogicum addi in melioribus libris videmus, et ipsi poëtæ anteposuerunt productas syllabas, εἶναι quam ἔμμεν, αἰεὶ quam αἰέν, et quæ similia sunt, in fine versus dicere præferentes.

Græcorum mos est, omnimodo finire versum heroicum integro vocabulo: nam si Simonides aut aliquis alius epigrammatum scriptor nomen proprium, quod dactylico numero aliter aptari non poterat, inter duos versus divisit, id necessitate contra regulam factum est. Epici numquam ne hoc quidem sibi indulserunt, ut syllabam in fine versus eliderent. Apud Homerum quidem plerique grammatici ita putarunt distinguendum esse Iliad. ξ'. 265.

ἦ φὴς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρυόπα Ζῆ-
ν', ὡς Ἡρακλῆος περιχώσατο.

Ita abhorret ista ratio ab epici carminis simplicitate atque

[a] Sed vide Dawesium et alios de his patronymicis, forte quadrisyllabis.

elegantia, ut, etsi illud εὐρύοπα Ζῆν' etiam Iliad. θ'. 206. et ω'. 331. invenitur, tamen valde dubitem, an grammaticis potius elisio ista, quam Homero tribui debeat. Certe Eustathius, sive suam promens conjecturam, sive alium sequutus, etiam εὐρύοπα Ζῆν sine elisione scribi posse observat, quemadmodum ἧλ, δῶ, κρῖ, atque alia dicantur, quæ maxime in fine versus pro longioribus formis poni solent: de quo genere dixit Strabo. Et hæc mihi quidem verior sententia videtur. Ex Latinis vero Virgilius, proximum Homero se fore ratus, si talium rerum nihil intactum reliquisset, in vitio virtutem quæsivit, ut Georg. I. 295.

aut dulcis musti Volcano decoquit humorem,
et foliis undam tepidi despumat aheni [a].

Grammatici multas distinctiones protulerunt versus hexametri, quarum eas, quæ pueriles sunt vel inutiles, prætermitto: sed commemoratu dignum videtur illud genus, quod κατ' ἐνόπλιον vocant, quod spondeum habet duobus dactylis additum, ut Iliad. α'. 357. quo illi exemplo uti solent,

ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.

Hoc genus non propter versum heroicum memorabile est, sed propter numerum illum, quem κατ' ἐνόπλιον nominant: de quo præter scholiasten Hephæstionis et Eustathium videndus schol. Aristoph. ad Nub. Quantum ex iis, quæ a veteribus tradita sunt, colligi potest, duo numeri enoplii dicti sunt, unus, qui est ex duobus dactylis et spondeo, numerum, nisi fallor, habens anapæsticum,

— ⏑́⏑ — ⏑⏑ — —

alter aperte anapæsticus, sive, ut rhythmici eum metiuntur, ex spondeo, pyrrhichio, trochæo, et iambo,

— —́ ⏑⏑ — ⏑⏑ —

quos apparet ambos ἡμιολίους, i.e. ex sesquidipodia esse. Plato de Rep. III. p. 400. B. ἐνόπλιον ξύνθετον commemorat, de quo quæ scholiastes p. 155. ex Proclo refert, ὁ ἐνόπλιος· σύνθετός ἐστιν ἐξ ἰάμβου, καὶ δακτύλου, καὶ τῆς παριαμβίδος, ἀνδρικὸς πρὸς πράξεις ἀναγκαίας καὶ ἀκουσίους, ἐξορμητικὸς εἰς πόλεμον, vitiosa esse puto, quando et insolens ista compositio est, et minime ea vi prædita, quam ei inesse dicit. Convenit hoc in anapæsticum illum enoplium. Quare videndum, ne scripserit, ὁ ἐνόπλιος σύνθετός ἐστιν ἐκ τροχαίου καὶ ἰάμβου καὶ δακτύλου καὶ τῆς παριαμβίδος. Hoc enim modo et mensura hoc genus par erit duobus reliquis, et numerum habebit eumdem, quem illud anapæsticum:

— ⏑́⏑ — — ⏑⏑ ⏑⏑

[a] De hac re Macrobium excute, L. V. 14.

Duabus aliis earum formarum, quas grammatici constituerunt, alio fine utemur. Eæ sunt bucolica, quæ quartum pedem dactylum, eoque terminatum vocabulum habet; et politica, quæ etiam λογοειδής vocatur, quæ compositione pedestris est. Etenim quatuor, omnino sunt formæ versus hexametri, qui non ex dipodiis constat: duæ heroicæ, antiquior altera, quæ cæsuram in tertia arsi habet, spondeisque apte temperatur,

μῆνιν ἄειδε, θεά - Πηληϊάδεω Ἀχιλῆος,

altera recentior, cæsuram habens, quæ dicitur κατὰ τρίτον τροχαῖον, et ex dactylis ut plurimum constans,

εἰπὲ, θεὰ, Κρονίδαο διάκτορον αἴθοπος αὐγῆς.

Deinde bucolica, cujus legitima incisio in fine quarti pedis est, et ita quidem, ut is pes sit dactylus,

ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

quæ forma propria est carminis bucolici, non ita quidem, ut necessario omnibus in versibus esse debeat, sed ut tamen in plerisque sit. Denique quarta forma est pedestris illa, cujus hoc proprium est, ut neque cæsuram sibi propriam habeat, neque alia lege teneatur, quam hac, ut tolerabilis quædam species relinquatur versus heroici. Hic enim versus ab antiquis eodem modo, ut apud nostros liberiores iambi, ad illud poëseos genus adhiberi solebat, quod proximum est prosæ orationi, ab eaque pene solo metro distat. Is usus, repetendus fortasse a poëtis didacticis, etsi multi horum vere poëtarum nomine digni sunt, permanavit deinde ad leviorum argumentorum tractationem, parœmias, sillos, alia. Ejusmodi poëma fuit Archestrati, sæpissime laudatum ab Athenæo. Eoque referendi sunt etiam versus hexametri in comœdia Græcorum. Eodemque pertinent Horatii epistolæ, et magis etiam sermones. Aliquanto major enim in epistolis elegantia est numerorum et concinnitas, quam in sermonibus: in quibus tantum ne prosa oratio esse videatur, metrum adhibitum est; eandemque viam antea Lucilius ingressus erat.

Grammatici hexametrum μείουρον vocant, qui ultimum pedem pyrrichium vel iambum habet: cujus exemplum asserunt illud Homeri,

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

At hic versus, in quo ὄπφιν pronunciabatur, nihil discedit a lege versus heröici: vide Scholiasten Hephæstionis, et quæ ex Eustathio contulit Gaisfordius.

# APPENDIX II.

## COMICI POETÆ,

### AB EPICHARMO AD POSIDIPPUM.

***Quorum Notitia in hac Appendice plerumque Fastorum Hellenicorum Auctori debetur*** [a].

---

### *VETERES.*

| | |
|---|---|
| *EPICHARMUS fl. forte ante Christum* | 500. |
| Phormis, Ἐπιχάρμῳ σύγχρονος | 490. |
| Dinolochus | 487. |
| Euetes, Euxenides, Mylus | 485. |
| Chionides, Magnes — ἐπιβάλλει Ἐπιχάρμῳ νέος πρεσβύτῃ | 487. |
| Cratinus, sc. ab an. 519 ad 422. | 454. |
| Crates | 450. |
| Ecphantides, *Cratini ludibrium,* | 449. |
| Pisander *Platonis ludibrium.*, Epilycus, Callias | incert. |
| Hermippus | 430. |
| Myrtilus, *v. Suidas in* Μυρτῖλος | incert. |
| Lysimachus, *de quo ait Lucianus, in Judicio Vocalium,* κατηγόρμην δὲ παρὰ κωμῳδιῶν τινὶ ποιητῇ, Λυσίμαχος ἐκαλεῖτο, Βοιώτιος μὲν, ὡς ἐφαίνετο, τὸ γένος ἀνέκαθεν, ἀπὸ μέσης δὲ ἀξιοῦντι λέγεσθαι τῆς Ἀττικῆς. *Ubi Scholiastes,* οὗτος πρῶτος ἤρξατο τῆς τοῦ σίγμα εἰς τὸ τοῦ μεταβολῆς, Τέτταρα κατατολμήσας εἰπεῖν καὶ Τήμερον, | incert. |
| Hegemon | 413. |
| Sophron — *Ejus incerta est ætas, cum Suidas in v.* Σώφρων *dicit floruisse eum* τοῖς χρόνοις κατὰ Ξέρξην καὶ Εὐριπίδην. | incert. |
| Phrynichus | 435. |
| Lycis | incert. |

[a] Quos in Excerptis nostris poetas dedimus, eos literis cursivis designavimus. Pauca nomina recensu Clintoniano abolevimus, quæ nullam bonam frugem huc comportarent.

A. C.

Leucon, *Suid.* γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς, ............ incert.
Lysippus ............................................................. 434.
*Eupolis* ............................................................. 429.
*Aristophanes* ............................. ab an. 427 ad an. 388.
Τὸ πρῶτον δρᾶμα ἐξέθηκε τοὺς Δαιταλεῖς, *Schol. ad Nubes.*
Aristomenes ......................................................... 431.
Ameipsias ........................................................... 423.
Teleclides, *Aristophanis coætaneus*, ........................ 420.
*Pherecrates* ........................................................ 419.
Plato, *de quo Suidas*, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην, Φρύνιχον, Εὔπολιν, καὶ Φερεκράτην, ........................ id.
Diocles } *v. Suid. in v.*
Sannyrio } ........................................ *circa* 409.
Philyllius }
*De Philyllio, hæc Suidas*, Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας, *idem judicium de Hipparcho proximo ferens.*
Hipparchus, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, *Suid.* ......... incert.
Archippus ............................................................ 415.
Polyzelus ........................................................ incert.
*De illo ait Suidas*, Πολύζηλος, κωμικός· δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, *et cet.*
Philonides ............................................................ id.
πρότερον ἦν γναφεύς. *Suid.*
Xenophon .............................................................. id.
*Cujus nomen et Arcesilai Laertio debemus.*
Arcesilaus ............................................................ id.
Autocrates ............................................................ id.
Eunicus, *v. Athenæum*. ............................................ id.
Apollophanes .......................................................... id.
*Nicomachus* .......................................................... id.
*v. Harpocrationis Lex. in X.*
Cephisodorus ......................................................... 402.
Metagenes ..................................................... *forte* 400.
Nicophon ............................................................. 388.
Cantharus ........................................................ incert.
Nicochares ........................................................... 388.
Strattis .............................................................. 407.
Alcæus ............................................................... 388.
*Xenarchus*, ὁ μιμογράφος ........................................ 393.
Theopompus ....................................................... incert.

## *MEDII.*

*Eubulus* ............................................................. 375.
Araros ............................................................... 388.
*Antiphanes* ......................................................... 407.

fuit, ut in excerptis nihil prælo mandaretur quod pudori et castitati officeret. Corrupta porro et obscuriora quædam visum est omittere, ita tamen ut legenti sine mora curreret oratio. Duo aut tres, aut etiam plures ejusdem fabulæ editiones constanter manu trivimus.

Comici, κατ' ἐξοχὴν ita dicti, patria incerta est. Comœdiæ veteris princeps fuit, Eupolidi et Cratino longe prælatus, suæ pariter et posteræ ætatis judicio. Ex comœdiis poetæ nostri ætatem tulerunt hæ undecim, quas solos etiam evolvisse se testatur Suidas in v. Ἀριστοφάνης. ΑΧΑΡΝΗΣ. ΙΠΠΗΣ. ΝΕΦΕΛΑΙ. ΣΦΗΚΕΣ. ΕΙΡΗΝΗ. ΟΡΝΙΘΕΣ. ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ. ΛΥΣΙΣΤΡΑΤΗ. ΠΛΟΥΤΟΣ. ΒΑΤΡΑΧΟΙ. ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

Codex Ravennas, non ita pridem repertus, maxima Aristophani tulit commoda. Membranaceus est, foliis 180, ab Invernizio, jurisconsulto Romano, primum negligenter, deinde a Bekkero diligentissime et scite collatus. Hactenus Thierschius. Dindorfius in præf. sua ad Pac. monuit tantam fuisse Invernizii et negligentiam et imperitiam, ut non modo innumeras libri eximii lectiones enotare negligeret, sed etiam plurima non recte legeret.

Editio Princeps Aldina Aristophanis Comœdias novem continet, Thesmophoriazusis et Lysistrata nondum editis. Pulcher est iste liber impressus in fol. 1498, et codici par semper habitus. Comprehendit præterea Scholia M. Musuro Cretensi collecta.

Comicorum Græcorum Fragmenta. Viginti et trium Comicorum reliquias in hanc turbam concedere coegimus : utque in præfatione nostra testati sumus, Athenæum et Stobæum diligenter excussimus, quo ex Fragmentis pulchriora, disertiora, omnia certe casta in unum locum congesta sint.

In Appendice II. Elenchum quorundam Comicorum ex Fastis Hellenicis dedimus, ab Epicharmo scilicet (qui forte Olympiade LXX. floruit,) ad Posidippum Olympiada CXXIII. tangentem, de quo Suidas Ποσίδιππος τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας, Κωμικός· ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λ'. Sed vel inter hos cancellos, præter ea scriptorum nomina, multa alia sunt, quorum incerta est ætas. Sexaginta ad minimum Poetæ, qui fabulas dedere, nominari possunt quorum neque seriem neque solertiam aut virtutem hodie est discernere, neque in his an Veterem, an Mediam, an Novam comœdiam ornaverint, facile exploraveris. Scrupulus quoque quibusdam injici potest si Tragici vel Comici fuerint. Multi certe post Posidippum floruerunt aut Alexandriæ aut alicubi; et ex nostris sunt, qui extra Catalogum Clintonianum ἐδίδαξαν, v. g. Machon, Simulus, Sotion, alii.

Restat ut ea in serie, qua impressis mandantur, fontes aperiamus Fragmentorum.

ALEXIS.

1. ΦΑΙΔΡΩΙ, *apud Athenæum*, XIII. 13.
2. ΑΤΘΙΔΙ, *apud Athenæum*, IX. 36.
3. ΜΑΝΔΡΑΓΟΡΙΖΟΜΕΝΗΙ, *apud Athenæum*, III. 97.
4. 1. ΑΔΗΛΩΙ, *apud Athenæum*, II. 36.
5. 2. ΑΔΗΛΩΙ, *apud Athenæum*, I. 21.
6. 3. ΑΔΗΛΩΙ, *apud Stobæum*, LXVIII. 2.
7. 4. ΑΔΗΛΩΙ, *apud Athenæum*, II. 44.

ANAXANDRIDES.

1. ΠΟΛΕΣΙ, *apud Athenæum*, VII. 55.

ANTHIPPUS.

1. ΕΓΚΑΛΥΠΤΟΜΕΝΩΙ, *apud Athenæum*, IX. 68.

ANTIPHANES.

1. ΚΝΑΦΕΙ, *apud Stobæum*, LXI. 2.
2. ΠΟΙΗΣΕΙ, *apud Athenæum*, VI. 1.
3. ΝΕΑΝΙΣΚΟΙΣ, *apud Athenæum*, VI. 4.
4. ΣΤΡΑΤΙΩΤΗΙ, *apud Athenæum*, III. 62.
5. ΑΔΗΛΩΙ, *apud Stobæum*, XC. 14.
6. 2. ΑΔΗΛΩΙ, *apud Athenæum*, I. 5.

APOLLODORUS.

1. ΓΡΑΜΜΑΤΙΔΙΟΠΟΙΩΙ, *apud Athenæum*, VII. 13.
2. ΑΔΗΛΩΙ, *apud Athenæum*, I. 4.

ARISTOPHON.

1. 1. ΠΥΘΑΓΟΡΙΣΤΗΙ, *apud Athenæum*, XIII. 14.
2. 2. ΠΥΘΑΓΟΡΙΣΤΗΙ, *apud Athenæum*, IV. 53.
3. 3. ΠΥΘΑΓΟΡΙΣΤΗΙ, *apud Athenæum*, VI. 34.
4. ΚΑΛΛΩΝΙΔΗΙ, *apud Athenæum*, XIII. 8.

DIODORUS.

1. ΕΠΙΚΛΗΡΩΙ, *apud Athenæum*, VI. 36.
2. ΑΔΗΛΩΙ, *apud Stobæum*, LXXII. 1.

DIPHILUS.

1. ΕΜΠΟΡΩΙ, *apud Athenæum*, VI. 11.

EPICHARMUS.

1. ΠΛΟΥΤΩΙ, *apud Athenæum*, VI. 28.

EUBULUS.

1. ΔΙΟΝΥΣΩΙ, *apud Athenæum*, II. 3.
2. ΚΑΜΠΥΛΙΩΝΙ, *apud Athenæum*, XIII. 13.
3. ΧΡΥΣΙΛΛΑΙ, *apud Athenæum*, XIII. 8.

EUPHRON.

1. ΑΔΕΛΦΟΙΣ, *apud Athenæum*, IX. 24.

EUPOLIS.

1. ΔΗΜΟΙΣ, *apud Stobæum*, XLIII. 9.
2. ΚΟΛΑΞΙ, *apud Athenæum*, VI. 8.

MACHON.

1. ΑΔΗΛΩΙ, *apud Athenæum*, VIII. 26.

## MENANDER.

1. ΔΥΣΚΟΛΩΙ, *apud Stobæum*, XVI. 18.
2. ΜΙΣΟΓΥΝΗΙ, *apud Stobæum*, CVIII. q. v.
3. ΥΠΟΒΟΛΙΜΑΙΩΙ, *apud Stobæum*, CXXI. 7.
4. ΑΣΠΙΔΙ, *apud Stobæum*, XLIX. 8.
5. ΨΕΥΔΗΡΑΚΛΕΙ, *apud Athenæum*, IV. 72.
6. ΑΥΛΗΤΡΙΔΙ, *apud Athenæum*, XIII. 18.
7. 1. ΑΔΗΛΩΙ, *apud Athenæum*, LXXII. 2.
8. 2. ΑΔΗΛΩΙ, *apud Stobæum*, LXXXVI. 6.
9. 3. ΑΔΗΛΩΙ, *apud Stobæum*, CVI. 8.
10. 4. ΑΔΗΛΩΙ, *v. Walpole Frr. Comm.*[a]
10. 5. ΑΔΗΛΩΙ, *apud Stobæum*, XXXVIII. 29.
11. 6. ΑΔΗΛΩΙ, *apud Stobæum*, XCVIII. 8.
12. 7. ΑΔΗΛΩΙ, *apud Stobæum*, XCI. 29.
13. 8. ΑΔΗΛΩΙ, *apud Stobæum*, XLIII. 30.
14. 9. ΑΔΗΛΩΙ, *apud Stobæum*, XXII. 19.

## MNESIMACHUS.

1. ΦΙΛΙΠΠΩΙ, *apud Athenæum*, X. 18.

## NICOMACHUS.

1. ΕΙΛΕΙΘΥΙΑΙ, *apud Athenæum*, VII. 37.

## PHERECRATES.

1. ΜΕΤΑΛΛΕΥΣΙ, *apud Athenæum*, VI. 96.
2. ΑΔΗΛΩΙ, *apud Stobæum*, CXVI. 12.

## PHILEMON.

1. ΕΦΗΒΩΙ, *apud Stobæum*, XCVIII. 20.
2. ΠΥΡΡΩΙ, *apud Stobæum*, LV. 5.
3. ΣΤΡΑΤΙΩΤΗΙ, *apud Athenæum*, VII. 52.
4. ΕΠΙΔΙΚΑΖΟΜΕΝΩΙ, *apud Stobæum*, XIX. 2.
5. 1. ΑΔΗΛΩΙ, *apud Stobæum*, XXIX. 4.
6. 2. ΑΔΗΛΩΙ, *apud Stobæum*, CVIII. 33.
7. 3. ΑΔΗΛΩΙ, *apud Stobæum*, XCVII. 19.
8. 4. ΑΔΗΛΩΙ, *apud Stobæum*, IX. 22.
9. 5. ΑΔΗΛΩΙ, *apud Eustathium, ad* Il. Ω.[b]
10. 6. ΑΔΗΛΩΙ, *apud Stobæum*, XXXVI. 18.
11. 7. ΑΔΗΛΩΙ, *apud Stobæum*, LVI. 15.
12. 8. ΑΔΗΛΩΙ, *apud Stobæum*, CVIII. 1.
13. 9. ΑΔΗΛΩΙ, *apud Stobæum*, XCVII. 18.
14. 10. ΑΔΗΛΩΙ, *apud Stobæum*, II. 27.
15. 11. ΑΔΗΛΩΙ, *apud Stobæum*, XCV. 50.
16. 12. ΑΔΗΛΩΙ, *apud Stobæum*, VII. 38.

## PLATO.

1. ΣΥΝΕΞΑΠΑΤΩΝΤΙ, *apud Athenæum*, III. 61.

[a] 10. 4. v. Menandri fragmenta Clerici, p. 276. Hæc desumpta sunt collectione versuum, quæ præferebat nomen Menandri et Philistionis, voce corrupta pro *Philemonis*.

[b] Vide egregiam Porsoni notam ad Eur. Med. 139. qui pulcherrime hoc fragmentum restituit.

SIMULUS.

1. ΑΔΗΛΩΙ, *apud Stobæum*, LX. 4.

SOTION.

1. ΑΔΗΛΩΙ, *apud Athenæum*, VIII. 15.

TIMOCLES.

1. ΔΙΟΝΥΣΙΑΖΟΥΣΑΙΣ, *apud Stobæum*, CXXIV. 19.

XENARCHUS.

1. ΠΟΡΦΥΡΑΙ, *apud Athenæum*, VI. 6.

THEOCRITUS. Poetæ Bucolici a T. Briggesio editi an. 1821. facile primas ferunt: neque in Kiesslingii Theocrito est, quod post illum curaveris. Multæ sunt pulcherrimæ emendationes, quas cum amico suo Gaisfordio communicavit vir doctissimus, ex Etona disciplinam suam hauriens. Interim mirum est tot monstra in accentubus prælum Cantabrigiense generavisse, quæ in omni fere pagina scatent.

Prima editio Græca Idylliorum ea est, quam Aldus Manutius *Venetiis* vulgavit in fol. MCCCCLXXXXV. sine scholiis. Editio autem prima cum Scholiis Calliergi erat, additis quibusdam Idylliis ab Aldo omissis, Romæ 1516. Editio nitida Oxoniensis prodiit 1676.

Theocritus Syracusanus, an Cous, certe Syracusis est versatus. Dictus est a Simichide patre *Simichides*. Floruit sub Ptolemæo Philadelpho, Ægypti rege. Exstant ejus scripta, Idyllia et Epigrammata: posteriora autem hodie priore loco suo in *Musa* ejecimus, *Poesi* olim addituri.

BION. Smyrnæus ex oppidulo Phlossa poeta alter Bucolicus celeberrimus cujus mortem suavissime ploravit MOSCHUS, ejus æqualis et superstes. Hinc de ætate Bionis quoque constat, Moschus enim Aristarchi discipulus, Suida teste, fuit.

Bionis et Moschi quoque λείψανα, post H. Stephanum in luculenta editione Græcorum Poetarum Principum Paris. in fol. 1506 diligentius collegit F. Ursinus, ediditque Græce cum notis ad calcem Carminum IX. illustrium feminarum *Antverp.* 1566.

ARATUS. E Solis Ciliciæ civitate fuit, et floruit sub Antigono Ol. CXXV. ante Ch. 278. Exstat e scriptis poema heroicum celeberrimum Φαινόμενα, quibus, post v. 722, Διοσημεῖα subjunguntur. De Arato hoc judicium tulit Hipparchus ἁπλοῦς τε καὶ σύντομός ἐστι ποιητὴς ἔτι δὲ σαφὴς τοῖς καὶ μετρίως παρηκολουθηκόσι.

Is Hipparchus ex Bithynia, c. prope annos Arato junior, in ipsum Commentaria, quæ hodie exstant, dedit. Aratus vero Græce impressis prodiit primum inter Poetas Principes H. Stephani, Paris. 1566. Buhlii editio, in duo tomos divisa, negligentioris apparatus apud Germanos crimen habet. Gymnasia inter peregrina in deliciis habitus Aratus nostros prope latet: dignus autem est qui circumferatur, et ingenu-

orum studiis in ludis nostris adhibeatur. Nullo tamen sub patrocinio magis innotescit, quam Imm. Bekkeri, qui *Aratum cum Scholiis*, Berolini, edidit 1828.

Apollonius Rhodius, revera Alexandrinus fuit, sed quia jus civitatis apud Rhodios accepit, ibique rhetoricam per aliquod tempus cum laude professus est, Rhodius dicitur. Callimachi discipulus fuit, sed postea invisissimus. Præfectus fuit bibliothecæ Alexandrinæ sub Ptolemæo Evergete I, et Eratostheni successit. Exstant libri IV. Ἀργοναυτικῶν, quorum partem cum foris prælegeret, a civibus suis eum pro laude risum et scommata tulisse perhibent[a]. Longe aliter sensit A. Wellauer in editione ejus nuper facta *Lipsiæ* 1828, cujus verba sunt, "Apollonii Rhodii Argonautica ut Epicorum carminum "seriorum præstantissimis non immerito adnumerari haud fa- "cile quisquam negaverit, ita hanc inter omnes constat sortem "iis obtigisse, ut omni tempore a paucis lecta, a paucissimis "edita sint, neque facile sit dictu, utrum lectorum paucitas "ab edendo carmine egregie viros doctos absterruerit an vero "a legendo literarum Græcarum amatores prohibuerit editi- "onum raritas." Tum vero vapulant Hoelzlinus, Shavius, Brunckius, et complures alii ante editorem ipsissimum editores.

Prima editio Apollonii Rhodii satis decantata est, quæ literis uncialibus (ut perperam vocant) sive quadratis, Scholiis in margine per singulas paginas adjectis, *Florentiæ* prodiit MCCCCLXXXXVI.

Callimachus. Cyrenæus, grammaticus doctissimus et poeta insignis. A Ptolemæo Philadelpho accitus est in musæum quod philosophis ac viris eruditis munificentia regia Alexandriæ dicaverat. Floruit fere CCL. anno ante Christum natum. Scriptor fuit copiosissimus; pauca tamen de tanto acervo hodie restant, ex quibus Hymnum ad Apollinem, ad Dianam, et Elegiacum carmen ad lavacra Palladis dedimus.

*Prima* editio Capitalibus[b] Literis impressa est Florentiæ, curante Lascari, exeunte sæculo decimo quinto; *optimam* adornavit Blomfieldius, qui librum Ernestianum recensuit, et quicquid in eo tironum usibus minus accommodatum vidit, id omne resecuit, et commentario observationes recentiorum quorundam suasque, summa cum fruge, passim intertexuit.

Meleager, Gadarenus, secundum Clintonum in Fastis Hellenicis, II. p. 138. floruit Olympiade CLXXI. 2. anno ante

[a] Quintilianus vix aliud de illo judicium tulit, laudis admodum parcus, cum *non contemnendum opus* vocat *compositum æquali quadam mediocritate*. Vide de Ap. Rhod. G. Wakefield disserentem in Epistolis ejus ad C. J. Fox.

[b] Hic liber absque anni, loci, et typographi indicatione impressus est, et inter rarissimos jure habetur. In venditione Roxburghiana sexaginta aureis constitit. Pluris autem indies æstimatur.

Christum 95, de quo Scholiastes, *Γαδαρηνὸς ἦν, ὡς ἐν τοῖς ἔμπροσθεν αὐτὸς ἑαυτοῦ ἐμνημόνευσεν· ἤκμασεν ἐπὶ Σελεύκου τοῦ ἐσχάτου.* Ultimus vero ille Seleucus anno ante Christum 95 regnavit. Anthologiam primus non ex uno Epigrammatum genere, neque ex iis tantum, quæ publicis monimentis inscripta fuerunt, sed cum ex his, tum ex poetarum operibus collectam condidisse et concinasse videtur. Cum Epigrammatum alieni juris collector esset, multa et ipse conscripsit. De aliis, qui idem aggressi, multæ sunt ambages, multa historia. Cetera igitur de Meleagro, de Philippo, de Agathia, de Planude, de Cephala, qui scire velit, eum ad criticos mittimus.

Meleager seorsim nusquam antique est editus. In Anthologia sua multum illi curæ contulit Jacobsius. Optime autem de illo meruit Manso, cujus Meleagri editio prodiit *Jenæ*, 1789.

Dionysius, quem ΠΕΡΙΗΓΗΤΗΝ vocant, orbis terrarum descriptionem epico versu absolvit, cujus in poema criticum egit magnus ille Homeri interpres Eustathius, et adhuc ejus *παρεκβολαὶ* in pretio sunt. Passovium hodie optimum sibi vindicat editorem. Quam in deliciis nostratibus olim fuerit ex eodem pauca apponamus. "Antiquus ille Dionysii in "scholis lectitandi mos apud *Britannos* maximo cum ardore "receptus, in Germania certe cum multis aliis a patribus "sapienter institutis inde a medio sæculo XVII. adeo exolevit, ut C. Cellarius in oratione *De poetis scholæ publicæ utilioribus* de studio Græcitatis istis temporibus pœne in oblivionem dato graviter conquestus, nihil habuerit antiquius "quam Aratum et Dionysium in scholarum disciplinam revocare."

'Ο ΠΕΡΙΗΓΗΤΗΣ duobus in Latinum linguam scriptoribus, ne poetis dicam, Avieno scilicet et Prisciano translatus est. Plura quidem ex Dionysio in animo erat excerpere, quod operis nostri lex vetat. Italiam et Græciam saltem descripsimus.

Dionysii ætas incerta est, alii eum in Augusti ævo ponunt, alii juniorem esse longe contendunt et Severi temporibus vel Marci Antonini vixisse. Prima Dionysii editio Veneta est apud Aldum 1513.

Oppianus e Cilicia oriundus, Anazarbeus, poetarum nostrorum agmen claudit: indignus forte qui cum Hesiodo, Pindaro, Aristophane, veteribusque istis consortium haberet, lætus tamen animo, dulcis lectu, et jucundissimus juniorum sensibus, inter illos adhuc teneatur.

Circumferuntur Oppiani carmine heroico scripti ΑΛΙΕΥΤΙΚΩΝ sive *de Piscatione* libri V. ad imperatorem Antoninum Caracallam: et ΚΥΝΗΓΗΤΙΚΩΝ, sive *de Venatione* libri IV. ita ut quintus sive postremus interciderit. Floruit igitur exeunte secundo sæculo post Christum, inter annos CL. et CC.

Primum autem Græce vulgati sunt Oppiani v. *de natura seu Venatione Piscium* libri; *Florentiæ*, 1515. in 8va forma a Junta. Editionem principem excepit Aldina. Pulcherrima sane est Turnebi editio, et (quo more bibliographi dicere amant) vere ampla et lactea, mendis tamen quam plurimis corrumpitur. Quid Oppiano Ælianus debuerit nulli ignotum est. ΚΥΝΗΓΗΤΙΚΩΝ et ΑΛΙΕΥΤΙΚΩΝ librorum scriptorem fuisse diversum, nemo nisi qui in literis Græcis plane hospes sit, dubitaverit. Usque ad hunc diem bonum nullum interpretem nactus est, Schneiderium enim nihil moramur.

SEP 1920